πῦρ ὑπανῆψε θλίψεων τοῖς ἐγκάτοις
καὶ μέχρις ὀστοῦ ἐξετεφρώσατό με
Τρυγὼν ἐδείχθην ἐργάτις ὀδυρμάτων,
ἐρημίαν θρηνοῦσα τὴν τῶν γνησίων
Δεινῶν ἁπλῶς σύρροια ποικιλοτρόπων
εἰς βυθὸν ὠθεῖ πικρίας ἀνεκβάτου.
Κάμφθητι γοῦν· ὅταν δὲ τὸν δεσμὸν λύσῃς
καὶ χοῦν συνάξας ἐξαναστήσῃς πάλιν
καὶ πλάσματος σοῦ πρακτέων ἱστᾷς κρίσιν,
μὴ καὶ κολάσῃς, κἄνπερ ἡμάρτηκά σοι.
Ἀρκεῖ γὰρ εἰς κόλασιν ἃ θλίβουσί με·
τῶν ἡδονῶν στέρησις ὧν βίος φέρει
χαρὰν νοητὴν χάριν ἀντιλαβέτω,
πῦρ μοι σβεσάτω τῆς γεέννης τὸ φλέγον,
δακρυρροοῦν βλέφαρον ἐξ ἀλγηδόνων
ἅς μοι παρεισήνεγκε Τελχῖνος φθόνος
πόρρω τιθείτω τοῦ ψυχεινοῦ Ταρτάρου.
ἡ θλίψεων κάμινος ἣν ἔνδον τρέφω
ἄξυλον ὕλην σχοῦσα τὰς περιστάσεις
κοιμισάτω σκώληκα συνθραύσαντά με
φροντὶς κατατρύχουσα καρδίαν μέσην.
Ἀφαρπασον δὲ τῶν μεσουσῶν βασάνων,
εὐσπλαγχνίας σῆς ἐνσταλάξας ῥανίδα,
νῶτα φλογιζούσης δὲ ῥομφαίας στρέφων
ζωῆς ξύλῳ δὸς ἐντρυφᾶν σεσωσμένῃ
ἐν πραέων γῇ καὶ τρυφῆς ἐπὶ χλόης.
Κατωδύνου σοι ταῦτα καρδίας λόγοι
Κομνηνοβλάστου λάτριδος σῆς Εἰρήνης
κούφισμα μικρὸν δυςπραγημάτων βάρους
καὶ λύσεως αἴτησις ἀμπλακημάτων.

247 (φ. 112β). «Εἰς τὸ καινουργηθὲν κουβούκλειον ἐν τῷ κατὰ τὰς Βλαχέρνας κουβουκλείῳ». Στίχοι 18.

Ἀρχ. Τί τὸν μέγαν ἄνακτα τυπῶν, ζωγράφε,
μέσον δ' ἐπ' αὐτῆς τῆς στοᾶς διαγράφεις

Ε.Υ.Δ. της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τὸ πορφυραυγὲς κοσμικοῦ κέντρον κύκλου,
μακρὰν διιστὰς ἀρετῶν τὰς εἰκόνας
. . . . . . . . . . . . . . . . . . . .
Τῷ γὰρ κρατίστῳ Μανουὴλ συνεγγράφεις
τοῦ χρυσοπάστου κυκλόθεν ταύτας δόμου,
ἔμψυχον αὐτῶν ἀρετῶν οἶκον κρίνων
φρουροῦντα ταύτας παρθένους ὥςπερ κόρας
Τέλ. ὑφ' ὧν τροποῦται Δαλμάτας, Πέρσας, Δάκας
καὶ βάρβαρον πᾶν καὶ παράσπονδον γένος.

248 (φ. 113α). Ἀνεπίγραφα ἀστρονομικὰ καὶ φιλοσοφικὰ εἰς πεζὸν λόγον.
Ἀρχ. Ὅτι ἀπηλιώτης λέγεται ὅτι ὁ ☉ (=ἥλιος) δι' αὐτοῦ διέρχεται.

249 (φ. 115β). «Εἰς εἰκόνα τοῦ ἁγίου Νικολάου κοσμηθεῖσαν». Στίχοι 28.
Ἀρχ. Ἂν μηδὲν αἰτῶν μηδὲ λαμβάνων πάλαι
εὐεργετεῖν ἕτοιμον εἶχες καρδίαν,
ἀρχιεράρχα Μυρέων μυροβλύτα,
νῦν οἶδα μᾶλλον συμπαθέστερος γένῃ
χρυσάργυρον κόσμημα σοῦ λαβὼν τύπου.
. . . . . . . . . . . . . . . . . . . .
Γεώργιόν με τὸν Σκυλίτζην ἐκ γένους,
ἐξ Εὐγενειωτῶν δὲ τῆς ῥίζης Ἄνναν
ἐμοὶ ζυγεῖσαν ὑπὸ σοὶ νυμφοστόλῳ.
Τέλ. φῶς Τριάδος δὸς τῆς μοναρχικῆς βλέπειν.

250 (φ. 115β). «Εἰς εἰκόνα τῆς Θεοτόκου κοσμηθεῖσαν παρὰ τοῦ Σκληροῦ».
Ἀρχ. Σοῦ καὶ τύποι στίλβοντες ἦσαν χρυσίῳ
. . . . . . . . . . . . . . . . . . . .
ἄνανδρε μῆτερ, καλλύνω τῷ χρυσίῳ
Κωνσταντῖνος σὸς λάτρης ἐκ Σκληρῶν γένους.
Τέλ. ἄνθραξι σῆς χάριτος ἐκτεφροῦσά μου
πᾶν ἔργον ὑπόχαλκον ὃ τρέφει φλόγας.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Γ.Δ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

251 (φ. 115β). «Εἰς εἰκόνα τῆς ὑπεραγίας Θεοτόκου κοσμηθεῖσαν παρὰ τοῦ Συναΐτου». Στίχοι 7.

Ἀρχ. Ἐκ μαργαριτῶν, ἐκ λίθων, ἐκ χρυσίου
κοσμῶ τύπον σόν, ζῶσα χρυσῆ λυχνία.
Νικηφόρος σὸς οἰκέτης Συναΐτης

252 (φ. 115β). «Εἰς εἰκόνα τοῦ Χριστοῦ καθημένου ἐπὶ θρόνου καὶ ἡπλωμένας ἔχοντος τὰς χεῖρας». Στίχοι 12.

Ἀρχ. Εἰ τὴν σοφίαν κατιδεῖν βούλει, ξένε.

253 (φ. 116α). «Εἰς εἰκόνα τοῦ Χρυσοστόμου». Στίχοι 4.

Ἀρχ. Ψυχὴν ἐμὴν ἄρδευε, πηγὴ χρυσέα.

254 (φ. 116α). «Εἰς ἐγκόλπιον ἔχον τίμιον λίθον τοῦ τάφου τοῦ Χριστοῦ».

Ἔχει ὅλον ὧδε·

Τὸ τμῆμα λίθου τοῦ καλύψαντος τάφου
λίθον τὸν ἀκρόγωνον ὃν βάσιν φέρει.
Θεόδωρος Ῥὼς ἐκ φυλῆς βασιλέων.

255 (φ. 116α). «Εἰς ἐγκόλπιον ἔχον λίθον ἀπὸ τοῦ τάφου τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ».

Ἔχει ὅλον ὧδε·

Τμήματι, Σῶτερ, λατομητοῦ σου τάφου
ὄρους, ἀλατόμητε Παρθένου λίθε,
στήριγμα, δεσμὸς τῶν διεστώτων γίνου
τῷ πατριάρχῃ τῆς Σιὼν Ἰωάννῃ

256 (φ. 116α). «Εἰς εἰκόνα τοῦ ἁγίου Μαξίμου». Στίχοι 6.

Ἀρχ. Εἰ μὴ μαθὼν ᾔδειν σε, Μάξιμε, φθάσας.

257 (φ. 116α). «Εἰς εἰκόνας τῶν ἁγίων Θεοδώρων». Στίχοι 17.

Ἀρχ. Εἰς πίστεως σύγκρατον ἀκραιφνῆ πόθον
βάψας ἀΰλως τοῦ νοὸς τὴν γραφίδα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Επιμ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

258 (φ. 116α). «Εἰς τὸν ἀπὸ τῆς Πόλεως προςαχθέντα στέφανον».
Ἔχει ὅλον ὧδε·

Τί λαμπάδος χρὴ τῷ φεραυγεῖ φωςφόρῳ,
τί στίλψεως χρὴ τῷ διαυγεῖ λυχνίτῃ
καὶ σοὶ στεφάνου τί δέει χρυσηλάτου,
ἄναξ Μανουὴλ, πορφύρας ἔμπνουν ῥόδον,
ὃν μυρία τρόπαια κυκλόθεν στέφει,
μερῶν πλακέντα κοσμικῶν ἐκ τεττάρων;
Καὶ μάρτυρές μοι Σικελὸς, Πέρσης, Σκύθης,
Ἀντιόχου γῆ καὶ Κίλικες καὶ Χάλεπ.
Πλὴν ἀλλὰ σὴ θρέπτειρα καὶ δούλη πόλις
χρυσῷ στεφάνῳ λιθοκολλήτῳ στέφω
τὴν ἐξολοθρεύσασαν ἔθνη σὴν χέρα·
ἄλλως σε καὶ γὰρ ἀγκαλίσασθαι τρέμω.
Σὺ δ' ἀλλὰ ταῖς πρὶν προςτιθεὶς νίκας νέας
ἀεί με χαίρειν σοῖς θριάμβοις εὐδόκει.

259 (φ. 116α). «Εἰς εἰκόνα τῆς Θεοτόκου τῆς παναγίας δεσποίνης ἡμῶν». Στίχοι 16.

Ἀρχ. Πολλαὶ Σολομῶν φησι τῶν θυγατέρων.
Τέλ. ‖Πλὴν ἀλλὰ κόσμησον εὐμενῶς δεξαμένη φ. 116
πρωτοστράτορος δῶρον ἐξ Ἀλεξίου,
ὑπεκλάλει μου μυστικωτέροις λόγοις.

260 (φ. 116β). «Εἰς τὸν τάφον τῆς Σκληραίνης».
Ἔχει ὅλον ὧδε·

Βουστροφύλακος (;) Ἡλία συνευνέτιν
Σκλήραιναν Ἄνναν ὁ βραχὺς κρύπτω λίθος.
Μὴ γοῦν σπαράξῃς τὴν ἐμὴν πτύχα, ξένε,
μηδ' ἐμβαλεῖς χοῦν ὀστέων ἀλλοτρίων,
κἂν ἐκταθῇ δρόμημα μακρῶν ἡλίων.
Κεκράξομαι γὰρ ὡς λαλεῖν ἔχει λίθος
ὃς ἂν συνάψῃ τῷ νεκρῷ νέκυν ξένον.
Τῆς τοῦ θεοῦ γένοιτο δεξιᾶς ξένος,
ὕλη γεέννης, Ἰσκαριώτου μέρος

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ τῶν ἀράντων τὴν βοὴν πρὸς Πιλᾶτον
Τὸν Χριστὸν ἆρον, ἆρον εἰς Σταυροῦ ξύλον.

261 (φ. $116^{\beta}$). «Στίχοι γεγονότες ὅτε ὁ υἱὸς τοῦ ἐπὶ τοῦ κανικλείου πεσὼν ἀφ' ὑψηλοῦ τρικλίνου ἐν ᾧ ἦν ὁ Χριστὸς εἰκονισμένος, οὐδόλως ἐβλάβη». Στίχοι 21.

Ἀρχ. Ἀπαγγελῶ σου θαυμάτων τὰς αἰνέσεις
ἐν ταῖς θυγατρὸς τῆς Σιών, Σῶτερ, πύλαις.
Τέλ. τοῦ παιδὸς ἡμῶν Μανουὴλ φύλαξ γίνου.
Κανικλείου ταῦτα σοι, δικαιοδότα,
σὺν Εὐδοκίᾳ Κομνηνῇ τῇ συζύγῳ.

262 (φ. $116^{\beta}$). «Ἠθοποιία τίνας ἂν εἴπῃ λόγους ὁ υἱὸς τοῦ ἐπὶ τοῦ κανικλείου ἀβλαβὴς διαφυλαχθείς». Στίχοι 99

Ἀρχ. Πάλαι μέν, Σῶτερ, πλάστα μου, ῥύστα, σῶστα[1]
τοὺς παῖδας εἶχες ὑμνητὰς τερπνῶς κλαδηφοροῦντας
τὸν τετραήμερον νεκρὸν ἐγείρας ἐκ τοῦ τάφου
Τέλ. ‖συγκατοικίζων ἐν Ἐδὲμ τὰ τέκνα τοῖς τεκοῦσι. φ. $117^{\beta}$

263 (φ. $117^{\beta}$). «Εἰς εἰκόνα τοῦ Χριστοῦ δοθεῖσαν ἐν Ἀδριανουπόλει». Στίχοι 29.

Ἀρχ. Ἐκ τοῦ διώκτου καὶ σπαράκτου μὲν πάλαι
ἐς ὕστερον δὲ κήρυκος σοῦ γνησίου.
Τέλ. Νικόλαός σοι ταῦτα πιστὸς οἰκέτης
πρωτονοβελλίσιμος ἐκ τῆς ἀξίας,
Μαυροκατακαλῶν δὲ πατρὸς ἐκ γένους,
Εὐφροσύνη τε Δουκικῆς ῥίζης κλάδος
πρωτοστράτορος Μιχαὴλ τὸ παππόθεν,
ὃς αὐτανάσσης ἦν σύναιμος Εἰρήνης,
Θεοδώρου δὲ πανσεβάστου πατρόθεν,
ἃς σῶζε, Σῶτερ, πρὸς τρυφῆς φέρων χλόην
Θεοδώρῳ συνάμα καὶ τῇ Μαρίᾳ
τέκνοις συνάπτων εὐφροσύνης ἐν τόποις.

[1] Οὕτως ἄμετρος ὁ στίχος ἐν τῷ κώδικι.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

264 (φ. 117β). «Εἰς εἰκόνα τῆς τοῦ Χριστοῦ βαπτίσεως δοθεῖσαν εἰς τὸν ἐν τῷ Ἰορδάνῃ ναὸν τοῦ Προδρόμου παρὰ τοῦ Βασιλικοῦ». Στίχοι 35.

Ἀρχ. Πρὶν μὲν κατιδὼν πῦρ θεϊκῆς οὐσίας
ῥείθροις μιγὲν σοῖς, σαρκικῆς ὕλης πάχει,
φόβῳ ταραχθεὶς ἐστράφης, Ἰορδάνη

Τέλ. Αἴτει παρ' αὐτοῦ ψυχικὴν σωτηρίαν
Κωνσταντίνῳ πληροῦντι βουλὴν συζύγου,
Ἀγγελοπώλων ἐκ γένους κατηγμένης
τῆς Ἑλένης, καὶ τόνδε τὸν θεῖον τύπον
διδόντι δῶρον τῇ μονῇ τοῦ Προδρόμου,
ταῖς σαῖς παρ' ὄχθαις εὐσεβῶς ἱδρυμένῃ
φ. 118α || ὡς ἂν τρυφῆς πίνωσι τῆς θείας ὕδωρ·
πηγῆς ποταμῶν ἐξ Ἐδὲμ προηγμένων
κοινὸς μετ' αὐτοῦ σύζυγος τὲ καὶ τέκνα.

265 (φ. 118α). «Εἰς εἰκόνα τοῦ προφήτου Δανιήλ».
Ἔχει ὅλον ὧδε·

Ἔοικε τοῖς τρέφουσιν ἀκραιφνεῖς πόθους
δυζῆν ἀεὶ τὰ φίλτρα τῶν ποθουμένων,
εἰ καὶ τάφων κρύψουσιν αὐτοὺς οἱ λίθοι.
Κἂν γοῦν πικρὸν διεῖλε θανάτου ξίφος
τὸν φίλτατόν μοι παῖδα Μανουὴλ φθάσαν,
ἀλλ' αὐτὸς αὐτὸν ζῶντα τῇ ψυχῇ φέρων
βουλὴν περατῶ τοῦδε καὶ τεθνηκότος,
καὶ τοῦ προφήτου Δανιὴλ γράφων τύπον
δῶρον προσάγω τῇ μονῇ τοῦ Προδρόμου,
ἧς ἐγγύθεν ῥοῦς ὑδάτων Ἰορδάνου.
Σὺ δ' ἀλλ' ὁ θῆρας ἡμερώσας ἀγρίους,
ὁ λίθον ἰδὼν ἐξ ὄρους τετμημένον
καὶ δίχα χειρὸς λατύπου τεραστίας
θηρῶν νοητῶν ἁρπάσαις ψυχοφθόρων
καὶ πρὸς τὸν ἀκρόγωνον ἑδράσαις λίθον,
πρὸς οὐρανοῦ τὸ θεῖον ὑψώσας ὄρος,
Κωνσταντῖνον με καὶ σύνευνον Ἑλένην

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Επ. Δ τῆς Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

καὶ παῖδα φίλον Μανουὴλ σὸν οἰκέτην
Ἀγγελοπώλων ἐκ φυλῆς κατηγμένον.

266 (φ. 118α). «Εἰς τὴν ἀποσταλεῖσαν πρὸς τὸν Χριστοῦ τάφον χρυσῆν κανδύλαν».

Ἔχει ὅλον ὧδε·

Χριστοῦ μὲν ἐν σοὶ πρὶν καλυφθέντος, τάφε,
σμύρνα προσήχθη συμπλακεῖσα σινδόσι
καὶ λιβανωτὸς ἐγκατερράνθη κύκλῳ
μυρορροούσαις ὀρθρίαις μαθητρίαις.
Ὁ χρυσὸς οὐκ ἦν ὡς βασιλέα τάφῳ
καὶ τοῦτον ἡτοίμαζε σοὶ δῶρον φέρειν
Κομνηνὸς ὄρπηξ πορφύρας Ἰωάννης
σκοπῶν ἀνάψειν χρυσέαν σοι λυχνίαν.
Ἐπεὶ δὲ τοῦτο μὴ προῆλθεν εἰς τέλος,
παῖς πορφυρανθὴς Μανουὴλ αὐτοκράτωρ
ταύτην ἀναρτᾷ σοί, τάφε ζωηφόρε,
πληρῶν πατρὸς βούλησιν, ὡς υἱοῖς νόμος,
θέλων καθάπερ πατρικὸν κλῆρον μέγαν
καὶ τὴν δι' αὐτὸ συμμετρῆσασθαι χάριν.

267 (φ. 118α). «Εἰς τάφον». Στίχοι 18.

Ἀρχ. Εἰ μὴ θαλάσσης ἢ πετρῶν ἔφυς, ξένε,
δάκρυσι τοῦτον τὸν πικρὸν λίθον βρέχε,
μαθὼν τίς ἔνδον μαργαρίτης ἐκρύβη.
Φέρει γὰρ ἄνδρα τὸν Πεκούλην ἐκ γένους
Βασίλειον, πρώτιστον ἐν δικασπόλοις,
κοιαιστόρων τε σεμνύναντα τοὺς θρόνους.
Τέλ. μελενδυτήσας Βαρλαὰμ κεκλημένος.
Ἔγνως τὸν ἄνδρα· τοιγαροῦν εὔχου, ξένε,
κατοικίαν σχεῖν τῆς Ἐδὲμ τοῦτον μέσον
καὶ τοῦ θεοῦ πρόσωπον ἐν φωτὶ βλέπειν.

268 (φ. 118α) «Εἰς τὸν Χριστὸν ἑλκόμενον ἐπὶ τῷ σταυρωθῆναι». Στίχοι 15.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Γ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἀρχ. Ἔκλινεν οὖς, ἤκουσεν, ἠδύνθη πάλαι
ὁ πρῶτος Ἀδάμ, τὴν θέωσιν ἐλπίσας.
Τέλ. σιγᾷ γὰρ ὥςπερ καὶ κρίνοντος Πιλάτου φ. 118β
ὡς οἷον ἔμπνους ἐγγραφεὶς τῷ τεχνίτῃ.

269 (φ. 118β). «Εἰς εἰκόνα τοῦ ἁγίου Ἰακώβου τοῦ ἀδελφοθέου».
Ἔχει ὅλον ὧδε·

Ἐγκαρδίου πῦρ πίστεώς τε καὶ πόθου
εἰς πυρσὸν ἀέριον ἀρθὲν δεικνύων
μοναχὸς οἰκτρὸς λοῖσθος ἐν μύσταις Κλήμης
ἐν ὑλικοῖς χρώμασι τὸν τύπον γράφω
τοῦ πατριάρχου τῆς Σιὼν Ἰωάννου,
τοῦ τῶν μοναστῶν ἀρχετύπου κανόνος.
Ἰάκωβον δὲ σύγγονον Χριστοῦ λόγον
συνεικονίζω τῆς Σιὼν πρῶτον θύτην,
οὗ κατ' ἴχνος ζῶν κλῆρον αὐχεῖ τὸν θρόνον
θείᾳ Μανουὴλ αὐτοκράτορος κρίσει.
Αἰτῶ δ' ἀπ' ἀμφοῖν λύσιν εὑρεῖν πταισμάτων·
ὡς ἱεραρχῶν καὶ γὰρ αὐτῶν ἡ χάρις.

270 (φ. 118β). «Εἰς τάφον».
Ἔχει ὅλον ὧδε·

Τεραστία τις ὧδε τοῦ τύμβου φύσις.
Ταῖς μὲν γὰρ ἀφαῖς ψυχρός ἐστιν ὁ λίθος,
ἀλλ' ἐκφλογίζει τὰς βλεπόντων καρδίας.
Οὐκ οἶδ' ὅθεν πῦρ ἐξ ἀφανοῦς ἐκθλίβων,
ὅμως συνῆκε τῆς φλογὸς τὴν αἰτίαν.
Κρύπτει γὰρ ἔνδον τῶν χαρίτων τὴν μίαν,
τὸ πορφύρας βλάστημα, τὴν Εὐδοκίαν,
ἧς χρύσεον ῥίζωμα τῆς γεναρχίας
Κομνηνοφυῶν ἐκ τριςαυτοκρατόρων.
Πάππος γὰρ Ἀλέξιος, εὐσεβὴς ἄναξ,
ὁ σκῆπτρα Ῥώμης προςλαβὼν ἆθλον μέγα
φρενῶν σταθηρῶν καὶ βριαρᾶς παλάμης.
Πατὴρ δὲ βλαστὸς πορφύρας Ἰωάννης,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὃν ἐν μάχαις ἔφριξε Πέρσης τοξότης,
Σκύθης ἁμαξεύς, Ἰταλῶν γαῦρον γένος
καὶ γῆς ἔω σχοίνισμα καὶ δυσμῶν ὅροι.
Σύναιμος ἄναξ Μανουήλ, κλὼν πορφύρας,
αὐτοκράτωρ κράτιστος, εἰς ῥώμην λέων
καὶ πυκνὸς εἰς νοῦν καὶ γλυκασμὸς ἐν λόγοις·
οὗ καὶ ῥοπὴν ἔπτηξεν ὀφθαλμοῦ μόνην
Ἀντιοχεύς, ἄμετρον ὀφρὺν εἰςφέρων,
καὶ τῆς Ἄγαρ παῖς, Ἰκονιεὺς ἱππότης
καὶ γῆ Τριβαλλῶν καὶ τόποι Παριστρίων.
Οὕτω γενῶν ἔχουσα τῆς εὐκληρίας
εἰς κάλλος ἦν ἄγαλμα φύσεως ξένον,
εἰς ἦθος εἰκὼν ἀρετῶν ὅλων μία,
εἰς νοῦν ὑπερβάλλουσα θήλεος φύσιν,
εἰς χεῖρας ὡς ῥοῦς ἐκρέουσα τὰς δόσεις,
εἰς προςλαλιὰν καὶ μέλιτος γλυκίων.
Ἀλλ' ὦ φθορά, σύνοικε καρπὲ τοῦ ξύλου,
ὃν ἡ γυναικὸς ἐτρύγησεν ἀπάτη,
τίς φεύξεταί σου τὴν ἀείδρομον ῥύμην,
τίς σοῦ κρατήσῃ, κἂν φορῇ κράτους στέφος;
Τὴν γὰρ τοσαύτην καὶ γένος καὶ τοὺς τρόπους
λίθων πτύχες κρύπτουσιν ὡς κόνιν μόνην.
Θεόδωρος δὲ Βατάτζης συνευνέτης,
ὃν ἦρεν ὑψοῦ τοῖς συναφείας νόμοις
τῶν πανσεβάστων εἰς ὑπέρτατον τόπον
θρηνεῖ, ῥαγείσης τῆς φίλης συμψυχίας.
Θρηνοῦσι παῖδες, τάχ' ἂν ἐξείποις βλέπων,
τὴν ἄμπελον βότρυες ἀνεσπασμένην,
τὴν κυπάρισσον οἱ κλάδοι τετμημένην.
Θρηνεῖ δὲ καὶ πᾶς τὸν τάφον μαθὼν τίνος,
τὸ ῥευστὸν εἰς νοῦν τοῦ βίου προςλαμβάνων.
Σὺ δ' ὁ πλάσας πρίν, τόνδε σύνδεσμον λύσας
καὶ πάλιν εἰς ἄφθαρτον ἑλκύσων δέσιν
οὓς νῦν διεῖλες οἷς λόγοις οἶδας, λόγε,
‖σύναψον αὖθις εἰς μίαν κατοικίαν. φ. 119a

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ὅταν μερίζῃς τὰς μονὰς τοῖς ἀξίοις
διδοὺς Ἐδὲμ σκήνωμα καὶ τρυφῆς χλόην.

271 (φ. 119α). «Εἰς τὸν τάφον τῆς σεβαστῆς κυρᾶς Σοφίας». Ἔχει ὅλον ὧδε·

Εἴ τις βλεφάρων ἐκπετάσας τὰς πτύχας
ἐπόψεται στὰς τοὺς προκειμένους τάφους,
δάκρυα πικρὰ καρδιαλγῶν σταζέτω
καὶ γῆς τὸ πᾶν ἔδαφος αὐτοῖς πλυνέτω.
Κοιλὰς γάρ ἐστι τοῦτο κλαυθμῶνος νέα,
ἀναστομοῦσα τῷ βλέποντι κυκλόθεν
θρήνων ἐπ' αὐτοῖς μυριοβλύτους φλέβας.
Τύμβον δὲ τοῦτον κατιδὼν πάντων πλέον
ἐνταῦθα μὴ δάκρυον ἁπλῶς βλυσάτω,
ἀλλ' αἷμα θερμὸν ἐκραγὲν τῆς καρδίας.
Αὕτη γάρ, ἣν πλὰξ συγκαλύπτει τοῦ τάφου,
παῖς ἦν σεβαστὴ τῶν σεβαστοκρατόρων,
ὧν τοὺς νεκροὺς κρύπτουσιν οἱ λοιποὶ λίθοι,
κλῆσιν Σοφία, καλλονὴν ὅλη χάρις,
εἰς κόσμον ἠθῶν ἀρετῶν κρᾶσις μία,
εἰς νοῦν ὑπὲρ θήλειαν ἐξ εὐφυΐας,
εἰς δωρεὰς βρύουσα καὶ πηγῶν πλέον.
Ἐξ εὐγενῶν δὲ σχοῦσα τὸν συνευνέτην
ἓν ἄρρεν, ἓν καὶ θῆλυ τέκνον ἐκκύει,
ἐν ἑβδόμῳ δὲ καὶ δεκάτῳ τῷ χρόνῳ
συμψυχίας ῥαγεῖσα τῆς τοῦ συζύγου
κάλλους τὸ φῶς ἔκρυψεν ἀμφίων ζόφῳ.
Ὅμως τὰ τέκνα τοῦ γένους ἐπαξίως
ἀνῆξεν, ἐθρέψατο μυρίοις πόνοις.
Καιροῦ δὲ καλέσαντος αὐτὰ πρὸς γάμον,
κἀνταῦθα λαμπραὶ τῶν βίων αἱ συνδέσεις.
Ἀλλ' ὢ φορὰ κλύδωνος ἀγρίας ζάλης,
ἀλλ' ὢ τροχοῦ δόνησις ἀστατουμένη,
ὄνειρε κόσμε[1], πάντα σοῦ ψεύδους γέμει.

[1] Κατὰ διόρθωσιν τοῦ τὸ πρῶτον γραφέντος κόσμου.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΡΙΟΣ
Ε. 6Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ὁ παῖς γὰρ αὐτῆς ἠρπάγη καὶ πρὸ χρόνου
καὶ πῦρ ἀνῆψε θλίψεως τῇ καρδίᾳ.
Πλὴν καὶ πάλιν φλὸξ ἐξανήφθη δευτέρα,
τοῦ τῆς θυγατρὸς ἐκθανόντος συζύγου.
Τί γοῦν το λοιπόν; Ἀδέτω Δαυὶδ λύρα·
ἣν ὡς μονάζον στρουθίον μέσον δόμου
τὴν παῖδα μήτηρ ἐν βίῳ κεκτημένη
οἷα δρόσον ψύχουσαν αὐτῆς τὰς φλόγας·
ἡ παῖς δὲ πάλιν τὴν τεκοῦσαν καὶ μόνην
τῶν θλιβερῶν εὕρισκε παραμυθίαν·
ψυχὴν γὰρ εἶχον δυσὶ σαρκίοις μίαν.
Οὐκ εἶδε καὶ γὰρ ἡλίου φρυκτωρία
μητρὸς, θυγατρὸς[1] φίλτρον ἀλλήλοις τόσον..
Ἐρῶ πάλιν Ἄπιστα πάντα σου, βίε·
ῥέεις ὑπερ ῥοῦν, τῆς σκιᾶς μᾶλλον λῦε (;)
Οὐκ εἰς μακρὸν γὰρ συμβιώσασαι χρόνον,
εὗρον διαιροῦν τοῦ θανάτου τὸ ξίφος.
Ἐντεῦθεν ἡ παῖς δυστυχῶς μένει μόνη,
ἀείδακρυς ζήσασα τὸν λοιπὸν χρόνον,
ἕως τὸ κοινὸν φύσεως δοῦσα χρέος
κἀν τοῖς τάφοις ἔδειξε τὸν πάλαι πόθον
μητρὸς κόνει μίξασα τὴν ταύτης κόνιν.
Ἀλλ' ὦ συνάπτων καὶ διαιρῶν ἐν κρίσει,
σύνδεσμε πάντων τῶν διεστώτων, λόγε,
τὰς ἐν βίῳ πρὶν ἀμερῶς συνημμένας
σύναψον αὖθις ἐν τρυφῆς θείας χλόῃ
τιθεὶς τέκνῳ χαίρουσαν ἅμα μητέρα.

272 (φ. 119α) Δημοτικὰ ἀνεπίγραφα εἰς Μανουὴλ Κομνηνόν.

Ἔχει ὅλον ὧδε·

Ἔστι πιστὸς ἐν οὐρανῷ μάρτυς τῶν σῶν τροπαίων
ὁ φωτοβρύτης ἥλιος, ὁ μέγας ἀστεράρχης
ἐκ μὲν τῆς ἕω προελθών, βλέπων αὐτὸς ὑψόθεν

[1] Πρὶν ἢ γράψῃ τὴν λέξιν θυγατρὸς εἶχεν ἀρχίσει γράφων φι ἤτοι τὴν ἀρχὴν τῆς κατόπιν λέξεως φίλτρον.



Ε.Υ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὰ κράτη τὰ κατὰ Περσῶν καὶ τῶν Ἀντιοχέων
καὶ πάλιν αὖθις μετελθὼν ἐπὶ τὴν μεσημβρίαν
τὰς ἐν θαλάττῃ σου λαμπρὰς καὶ θαυμασίας νίκας
‖κἀκεῖθεν αὖθις διελθὼν ἐπὶ δυσμῶν τοῦ ὄρους
τῶν Τριβαλλῶν καταστροφὴν, Παιόνων τὴν δουλείαν
καὶ Δαλματῶν ὑποταγὴν καὶ τῶν Δακῶν τὴν φρίκην
καὶ σὺν αὐτοῖς καὶ μετ᾽ αὐτοὺς τὸ μέγιστον καὶ κρεῖττον.
προέλευσιν σικελικῆς νήσου τυραννοτρόφου.
Καὶ τίς λοιπὸν ἰσόμετρος ὕμνος ἀντειςαχθῇ σοι,
τοιούτου σε κηρύττοντος τοῦ μάρτυρος ἐξ ὕψους;

Ἐκ τοῦ θεοῦ τοῦ πλάσαντος καὶ στεφανώσαντός σε
δοθεὶς θεὸς τοῖς ἐπὶ γῆς τοῦτον μιμεῖσθαι σπεύδεις,
ὑπὲρ τῶν δούλων πολλαχοῦ σοῦ τὴν ψυχὴν προθύων.
ἀλλὰ καὶ λέγειν ἐοικὼς πρὸς τὴν σειρὰν τοῦ γένους
Αὐξάνεσθε, πληθύνεσθε, συνεκβλαστάνοιτέ μοι,
ἀνάκτορα πληρώσατε τῶν ἐξ ὑμῶν ἐκγόνων.
Καὶ μαρτυρεῖ νυμφεύματα τῶν σῶν ἀδελφοπαίδων.
Καὶ γὰρ τὸν Ἰσαάκιον τὸν τῆς συναίμου παῖδα
τῆς Εὐδοκίας, τοῦ βλαστοῦ τῆς πατρικῆς πορφύρας,
τῇ τοῦ σεβαστοκράτορος Εἰρήνῃ διςεγγόνῃ
νυμφοστολῶν εἰς αὔξησιν τοῦ γένους συμφυτεύεις.

Ἤκουσεν ὕψος οὐρανοῦ, γῆς πλάτος ἠνωτίσθη
καὶ πᾶν θαλάσσης πέλαγος τὰ προτερήματά σου,
πορφυραυγέστατε φωστὴρ, αὐτάναξ σκηπτροκράτωρ.
Ὡς γὰρ ὁ μέγας ἥλιος ἀνατολῆς ἐκλάμψας
τῶν σῶν τροπαίων ταῖς αὐγαῖς κύκλῳ τὴν γῆν πυρσεύεις
Καὶ μάρτυρες Ἰκονιεῖς, πρίγκιψ Ἀντιοχέων
καὶ χώρα πᾶσα περσικὴ, πᾶσα σατραπαρχία
καὶ Τριβαλλοὶ δουλούμενοι, Δαλμάται προςκυνοῦντες
καὶ Παιονίας ἀρχηγὸς σὸν ὑποφρίσσων κράτος
καὶ νῆσος ἡ σικελικὴ σπονδὰς ἐξαιτουμένη*,
ἐξ ὧν τὴν θρεψαμένην σε μητέρα δούλην Ῥώμην

* Κατὰ διόρθωσιν τοῦ τὸ πρῶτον γραφέντος ἐξισουμένη.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

ἔμπλεων τίθεις χαρμονῆς, σκιρτῶν παρασκευάζεις.
προσέτι καὶ νυμφοστολῶν τοὺς ἀδελφόπαιδάς σου,
καὶ χαίροις, ἄναξ Μανουήλ, οὕτως αὐτὴν εὐφραίνων.

273 (φ. 119β). «Εἰς τὸν τάφον τοῦ πρωτοψάλτου Ἰωάννου τοῦ Μανουγρᾶ». Στίχοι 25.

Ἀρχ. Ἂν ἐν ποταμοῖς τῆς Βαβυλῶνος γράφη.

274 (φ. 119β). «Εἰς τὸ θαῦμα τοῦ τυφλοῦ εἰκονισθέν». Στίχοι 10.

Ἀρχ. Φῶς ἐξ ὑδάτων τοῦτο νικᾷ τὴν φύσιν.
φ. 120α Τελ. καθυγιάζον καὶ φρένας καὶ σαρκίον.

275 (φ 120α). «Εἰς τὸ θαῦμα τοῦ παραλύτου εἰκονισθὲν ἐν τῷ αὐτῷ λουτρῷ». Στίχοι 10

Ἀρχ. Προβατικῆς μὲν πρὶν κολυμβήθρας ὕδωρ.

276 (φ 120α). «Εἰς τὸν τάφον τοῦ Κομνηνοῦ».

Εἰ καὶ πρὸς ἄλλους ἀφορῶν τύμβους, ξένε,
βραχὺ σταλάζον δάκρυον παρατρέχεις,
ἀλλ' ἐνθάδε στὰς μὴ τὸ σύνηθες δράσης,
ἐκ τῆς γραφῆς δὲ τὸν τάφον μαθὼν τίνος
στεναγμὸν ἆρον, ῥῆξον αὐτὴν καρδίαν,
ῥοῦν αἱμάτων ἔκβλυσον ἀντὶ δακρύων.
Κρύπτει γὰρ ἐντὸς τὸν Κομνηνὸν μητρόθεν
Θεοδώρας βλάστημα, πορφύρας κλάδον
αὐτοκρατοῦντος Μανουὴλ τῆς[1] συγγόνου.
Ἀλέξιον τὸ θαῦμα τοῦ παντὸς γένους,
ὡραῖον ἰδεῖν, εἰς λόγους ὑπὲρ μέλι,
ὅλον γλυκασμόν, χαρμονήν, ὅλον χάριν,
ἄνθος νεαρᾶς, εὐσταλοῦς ἡλικίας,
εἰς χεῖρας ἀξύμβλητον ἐξ εὐανδρίας,
εἰς τοξικὴν ἄριστον, εἰς ἱππασίαν,
θάλασσαν οἴκτου, δωρεῶν πᾶσι βρύσιν,
εἰπεῖν ἁπλῶς σύγκραμα καλοῦ μυρίων,
ᾧ συζυγεῖσα δεξιαῖς σὺν ἐλπίσιν

[1] Εἶχεν ἀρχίσει γράφων του

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἄννα Κομνηνὴ Δουκόβλαστος μητρόθεν
τῆς φύσεως ἄγαλμα χαρίτων γέμον
μικρὸν συνανθεῖ καὶ συνεκφθίνει τάχος.
ἓν σχοῦσα τέκος[1], ὥςπερ ἄμπελος βότρυν.
Αἴφνης γὰρ οὗτος ἐξεμεῖ ῥοῦν αἱμάτων
καὶ συννοήσας ὡς ὁ πᾶς ψεῦδος βίος
ῥιπτεῖ τὰ φίλτρα[2] καὶ συνεύνου καὶ τέκνου
καὶ τῶν χλιδώντων χρυσοϋφῶν ἀμφίων,
τὸ φωτοποιὸν ἀντιλαμβάνει μέλαν
καὶ κλῆσιν ἄλλην ἔσχεν Ἀθανασίου,
φλέγει δὲ σάρκας ἐκ καμίνων ἀφλόγων
Ἄψυχος ὧδε συγκαλύπτεται κόνις
μάργαρος οἷος ὡς ἐλύτρῳ τῷ τάφῳ,
ὃν κοινὸν ἡ σύζυγος εὑρήσει τέλος
τηροῦσα τούτῳ καὶ θανόντι τὸν πόθον.
Σὺ δ' ἀλλὰ μαθὼν ταῦτα μὴ θρήνει μόνον,
εὔχου δὲ τοῦτον, σύζυγόν τε καὶ τέκνον
κοινῶς συνεῖναι καὶ τρυφῆς ἐν τῇ χλόῃ
λιταῖς πανάγνου μητρανάνδρου Παρθένου
καὶ τρισσολαμπὲς τοῦ θεοῦ φέγγος βλέπειν.

277 (φ. 120α), «Εἰς τὰ εἰκονισθέντα ἐν τῇ σεβασμίᾳ μονῇ τῆς Ἁγίας Τριάδος τῇ κατὰ τὸ Στενόν».

Ἔχει ὅλον ὧδε·

Πολλὰς φυτεύσας δωρεῶν σῶν ἀμπέλους
τῷ παραδείσῳ τῆς μονῆς ταύτης, ἄναξ,
ἐρυθρογράφοις σῆς χειρὸς σημασίαις
καὶ ληνὸν ἡμῖν ἀνορύξας χαρίτων
χρυσαῖς ἐπεθρίγγωσας αὐτὰς σφραγῖσι
φ.120β ‖Καὶ νῦν τρυγῶντες βότρυας θυμηδίας
σὲ τὸν φυτουργὸν εἰκονίζομεν πόθῳ
καὶ γνήσιόν σοι μυστικὸν Νικηφόρον,

[1] Εἶχεν ἀρχίσει γράφων βρ(έφος).
[2] Εἶχε γράψει πρότερον τὴν λέξιν τούς, ἣν ἐν μέρει μόνον ἐκάλυψε τὸ ἔπειτα ἐπ' αὐτῆς γραφὲν φ τοῦ φίλτρα.

Ε.Υ. Ζάχος Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τὸν πιστὸν ἀμφοῖν, καὶ θεῷ καὶ σῷ κράτει,
δι' οὗ μεσίτου καὶ δι' οὗ ποδηγέτου
φυτοκομεῖν ἕτοιμος εὐθὺς εὑρέθης.
Ἄλλως δ' ἀμοιβὴν οὐκ ἔχοντες ἀξίαν,
κόρην τυποῦμεν παμβασιλέως λόγου,
ἀνάκτορον ζῶν, τοῦτον ἐν μέσῳ φέρον
ὡς ἂν ὁ μὲν δύναμιν ἀμφιζωννύῃ,
ἡ δὲ τροπαίοις τὸ στέφος πλέον στέφῃ
ζῆν τέ σοι δώσουσι μακροὺς ἡλίους
καὶ βασιλείαν ἀτελεύτητον τέλος.

278 (φ. 120β). «Εἰς τὴν αὐτὴν μονὴν τῆς Ἁγίας Τριάδος». Ἔχει ὅλον ὧδε·

Αὕτη μοναστῶν ἡ κατοικία, ξένε,
οὐκ ἦν μὲν ἀπόγραπτος ἐν μοναῖς πάλαι,
ἀλλ' οἶκος εὐχῆς καὶ δεήσεως τόπος.
Ἀνὴρ δὲ πλήρης Πνεύματος χαρισμάτων,
θεοῦ δοχεῖον, Συμεὼν θείοις τρόποις,
κανὼν ἀκριβὴς τοῦ μονοτρόπου βίου
ἤγειρε ταύτην τῇ παναλκεῖ Τριάδι,
θέμεθλον ἐνθεὶς πίστεως θείαν πέτραν,
τῶν χιλίων μὲν ἑξάκις μετρουμένων
ἀφ' οὗ θεὸς προῆξε δίσκον ἡλίου,
αὖθις δ' ἑκατὸν ἑξάκις ποσουμένων,
καὶ τῶν δεκατρισσάκις ἀριθμουμένων
καὶ τῆς μονάδος ἐννάκις συνηγμένης
Εἴη δὲ μέχρι τερμάτων αἰωνίων
φρουροῦσα ταύτην τῆς Τριάδος ἡ χάρις
αὐτοῦ προσευχαῖς, κἂν παρέλθῃ τὸν βίον.

279 (φ. 120β). «Ἐπὶ τῷ ἀναρτηθέντι τρικανδύλῳ ἐν τῷ ναῷ τοῦ Βήρου». Στίχοι 12.

Ἀρχ. Πολλὰς ἀπ' ἀρχῆς μέχρι καὶ νῦν μοι, μάκαρ.
Τέλ. ὁ πρωτονοτάριος αἰτῶ καὶ πάλιν,
μυροβλύτα, φρούρει με, παῖδας, ἐγγόνους,
τέλος δὲ πᾶσι τοῖς Ἐδὲμ κλῆρον νέμοις.

Ε.Υ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

280 (φ. 120β). «Εἰς εἰκόνα τοῦ ἁγίου Παύλου τοῦ Ὁμολογητοῦ». Στίχοι 10.

Ἀρχ. Ῥυσθεῖσα δεινῆς καὶ πολυχρόνου νόσου
ἢ μᾶλλον Ἅδου τῶν πυλῶν ἐξηγμένη.
Τέλ. Εὐδοκία Δούκαινα σὸν γράφω τύπον
μίξασα τοῖς χρώμασι καὶ νῦν τὸν πόθον.
Σὺ δ' ἐν βίῳ μὲν προστάτει μου καὶ σκέπε,
τέλος δὲ τρυφῆς ἐγκατασκήνου χλόῃ.

281 (φ. 120β) «Εἰς εἰκόνα τοῦ ἁγίου Στεφάνου τοῦ πρωτομάρτυρος». Στίχοι 16.

Ἀρχ. Τὸν δίχα χειρὸς ἐξ ὄρους τετμημένον
λίθον τὸν ἀκρόγωνον ἐν ψυχῇ φέρων.
Τέλ. Βασίλειος δὲ Καρύκης, πιστὸς λάτρις
πέτρᾳ πόλου σοῦ καρδίᾳ προσεδράσας
σῆς εἰκόνος πίνακα χρυσῷ καλλύνει.
Σὺ δ' ἐν βίῳ, πρώταθλε, προστάτης γίνου
[καὶ] μακρὰν αὐτοῦ δυσχερὲς πᾶν ἐκτρέποις,
ἐν τῇ κρίσει δὲ τὴν Ἐδὲμ κλῆρον νέμοις.

282 (φ. 121α). «Ἐκφώνησις Λέοντι τῷ εὐσεβεῖ βασιλεῖ ἐπὶ τῇ χειροτονίᾳ Νικολάου τοῦ ἁγιωτάτου πατριάρχου· ᾠκονόμηται δὲ ὡς ἀποσχεδιασθεῖσα».

Ἀρχ. Εἴποτέ τινος καὶ ἄλλης κρείττονος, θεόληπτε βασιλεῦ, εὐμοίρησε διὰ σοῦ τὸ ὑπήκοον θυμηδίας. Τέλ. μηδ' ἀτυχῆσαι τῶν περὶ αὐτοῦ χρηστοτέρων ἐλπίδων τε καὶ ἐκ βάσεων.

283 (φ. 122β). «Ἐπιβατήριος ἐπὶ τοῖς τιμίοις λειψάνοις Λαζάρου, ἃ Λέων ὁ φιλόχριστος βασιλεὺς ἐκ Κύπρου μετήνεγκεν»

Ἀρχ. Λάζαρος ὁ Χριστοῦ φίλος τὸ παρὸν πνευματικὸν συγκεκρότηται σύστημα. Τέλ. ἡ τῶν πραγμάτων ἐνέργεια ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

Ε.Υ.Δ. της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

284 (φ. 123β). «Τοῦ αὐτοῦ ἔκφρασις πομπῆς ἱερᾶς, ἣν Λέων ὁ εὐσεβὴς βασιλεὺς ἐπὶ τοῖς τιμίοις λειψάνοις πεποίηται Λαζάρου τοῦ Χριστοῦ φίλου, ὅτε πρῶτος αὐτὰ ἐκ Κύπρου μετήνεγκεν».

Ἀρχ. [Τ]ὸν ἱερὸν τοῦτον σύλλογον καθορῶν καὶ τὴν πολυάνθρωπον ταύτην πανήγυριν. Τέλ. νῦν τε καὶ εἰς τὴν ἐκεῖθεν βασιλείαν γένοιτο ἀμήν.

285 (φ. 125β). «Σύμβολον πίστεως ἐπιδοθὲν ἐπὶ τῇ τῆς ἐπισκοπῆς αὐτοῦ προχειρίσει».

Ἀρχ. Καὶ τὸν ἐκκλησιαστικὸν ἀξιέπαινον νόμον εἰδώς. Τέλ. καὶ παρὰ τὴν ἀξίαν ἡμῖν ἐπιχορηγησάσης τὰ κρείττονα.

286 (φ. 127α). «Δημηγορία ἐπιτραπέζιος ὑπὸ παρουσίᾳ Λέοντος τοῦ εὐσεβοῦς βασιλέως».

Ἀρχ. Ὅπερ πολλοῖς τῶν συμπαρόντων οἶδα πραττόμενον καὶ μέχρι τοῦ δεῦρο τολμώμενον. Τέλ. καὶ τῶν ἐκεῖθεν ὑμῖν ἀγαθῶν τὰ ἐξαίρετα πρεσβείαις τῆς ἀειπαρθένου καὶ Θεοτόκου αὐτοῦ μητρὸς καὶ πάντων αὐτοῦ τῶν ἁγίων· γένοιτο· ἀμήν.

287 (φ. 129β). «Δημηγορία ἐπιτραπέζιος ὑπὸ παρουσίᾳ Λέοντος βασιλέως».

Ἀρχ. Οὐ μάταν ἔοικε, πανάγαθε βασιλεῦ. Τέλ. ὁ πάντα συμφερόντως διεξάγων θεὸς πρεσβείαις τῆς ἀειπαρθένου καὶ Θεοτόκου αὐτοῦ μητρὸς καὶ πάντων αὐτοῦ τῶν ἁγίων· γένοιτο· ἀμήν.

288 (φ. 130β). «Δημηγορία ἐπιτραπέζιος τῇ ἡμέρᾳ τῶν ἁγίων Φώτων ἐν τοῖς ιθ´ ἀκουβίτοις».

Ἀρχ. Ἐπαινῶ μετὰ τῶν ἄλλων τῆς βασιλικῆς εὐταξίας. Τέλ. ὧν καὶ ταῦτα τὰ κατὰ γῆν σκιαί τινες ἀμυδραὶ καὶ ἀπηχήματα καθεστήκασιν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν.

289 (φ. 131β). «Δημηγορία ἐπιτραπέζιος ὑπὸ παρουσίᾳ Λέοντος

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΚΔΟΣΗΣ ... ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ. κτ.λ. ΙΩΑΝΝΙΝΑ 2006

βασιλέως τῇ ἀναγνώσει τῆς πατριαρχικῆς ἀναβάσεως Νικολάου πατριάρχου ».

Ἀρχ. Καὶ τοῦ καιροῦ τὴν ἐνεστῶσαν ἀγάμενος ἑορτήν. Τέλ. ἀκυμόνως τε καὶ ἀστασιάστως τὴν κυβέρνησιν εὐοδούμενος ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

290 (φ. 132α). «Δημηγορία ἐπιτραπέζιος τῇ ἑορτῇ Ἡλιοῦ τοῦ προφήτου· Λεοντος ἑστιῶντος ἡμᾶς τοῖς ἑαυτοῦ σώστροις: — Δεύτερος οὗτος λόγος τῆς κατ' ἀρχὴν δημηγορίας ἐλέχθη· ἐτάγη δὲ ὧδε ».

Ἀρχ. Ὅτι μὲν εὐνοίας οἱ φθάσαντες λόγοι καὶ φιλικῆς ἔργον πίστεως. Τέλ. ἀνάγκῃ φύσεως καὶ χρέει πᾶσιν ἀπαραιτήτως ὀφειλομένῳ ὑπείκοντες ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν ᾧ ἡ δόξα νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

291 (φ. 134α). «Νικολάῳ πατριάρχῃ ἔτι διάκονος ὢν ἀνθ' ὧν Νικολάου τοῦ Ξυλομαχαιρίου ἐπίκλην ἁλόντος ἐφ' οἷς κατεῖπεν οὐ τῆς ἀξίας τετίμητο διὰ τὴν συκοφαντίαν».

Ἀρχ. Λύσιν ἐκείνην εἰδὼς τοῖς τῶν ἀρρωστημάτων ἀφανεστέροις. Τέλ. καὶ δεῖγμα προκεῖσθαι τοῖς ἄλλοις ἀνθρώποις φιλίας ἀκραιφνοῦς τε καὶ πίστεως.

292 (φ. 136α). «Λέοντι βασιλεῖ ἐναρχομένῳ τῆς διὰ τὸν τέταρτον αὐτοῦ γάμον παρασχεθείσης ὑπὸ τῆς ἐκκλησίας ἀπροβούλως ἀταξίας ».

Ἀρχ. Λόγος σοφὸς εἰς εὐήκοον οὓς ὁ σοφώτατος παρεγγυᾷ Σολομῶν. Τέλ. ἀνάγκη **το απο** τοῦδε ὡς ἡ ἐπαγγελία πρὸς ἑαυτὸν ἐπανάγεσθαι».

293 (φ. 138α). «**Τοῦ αὐτοῦ** περὶ τῶν αὐτῶν ».

Ἀρχ. Πολὺς ὁ λόγος, χρηστότατε βασιλεῦ, πειρώμενος ἡμᾶς θορυβεῖν. Τέλ. εἴ τι δ' ἀντιπαῖον τῷ λόγῳ τῇ τῶν ἀκροατῶν εὐγνωμοσύνῃ τοῦτο προσανακείσεται.

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΕΥΝΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ.Π.Κ. ΙΩΑΝΝΙΝΑ 2006

294 (φ. 142α). «Τῷ αὐτῷ περὶ τῶν αὐτῶν».

Ἀρχ. [ ][1] μὲν οὖν προσῆκε, χρηστότατε βασιλεῦ, κράτει τοσούτῳ. Τέλ. σκύβαλα μὲν τὰ κατὰ γῆν τιμιώτατα, νηστειῶν δὲ βέλη τὰ δεινότατα ἡγησάμενος.

295 (φ. 147β). «Στεφάνῳ ὑπογραφεῖ βασιλέως τῶν ἀπορρήτων φίλῳ ἀνδρί».

Ἀρχ. Μέμφεταί μοι ὁ περιφανέστατος ὅποι δὴ πυνθάνομαι πατρίκιος Σαμωνᾶς. Τέλ. δέδοικα γὰρ μὴ καὶ αὐτὸς εἶ τοῦ καιροῦ τούτῳ τὰ πρὸς φιλίαν χήτει φασὶ τοῦ βίου τὴν φιλίαν αὐτοῦ ἐξωνούμενος.

296 (φ. 151α). «Λέοντι βασιλεῖ περὶ τῶν κατὰ πολυγαμίαν εἰς συνηγορίαν παλαιοὺς προσκομιζόντων πατέρας»

Ἀρχ. Ναὶ Διονύσιον ἐπιγινώσκω, θεόσοφε βασιλεῦ. Τέλ. τῶν ἐνεργουμένων ὡς θέμις πάντη τούτους ἀλλοτριώσαντες.

297 (φ. 151β). «Λέοντι βασιλεῖ κακοῖν ἐναρχομένῳ».

Ἀρχ. Ποὶ[2] μὲν; πανάγαθε βασιλεῦ, πολλὴ χάρις τῆς εἰς ἡμᾶς, ὡς ἔοικε κηδεμονίας. Τέλ. τοιούτους ἀεὶ πολέμους ἡμᾶς διώκειν εὐξόμεθα.

298 (φ. 152β). «Τῷ αὐτῷ μετὰ ἑστίασιν ἐφορμήσαντι λόγοις».

Ἀρχ. Οὔτε καθέδρας, φιλανθρωπότατε βασιλεῦ, ἐφιέμενος. Τέλ. (ἀτελὲς ἐν τῷ αὐτῷ φύλλῳ μετὰ ἓξ στίχους) τῇ προτεραίᾳ ὑπὲρ καπνοῦ....

Εἶνε γεγραμμένον μέλανι κιρροτέρῳ τοῦ δι' οὗ ἐγράφησαν οἱ λοιποὶ λόγοι.

299 (φ. 153α). «Τοῦ ὑπερτίμου Ψελλοῦ ἐπιστολαί».

α' (φ. 153α). «Εἰς τὸν καίσαρα». — β' (φ. 153β). «Τοῦ αὐτοῦ εἰς τὸν αὐτόν». Ἀρχ. Πότερον ὡς αὐλητής. — γ' (φ. 154α). «Τοῦ αὐτοῦ εἰς τὸν αὐτόν». Ἀρχ. Νὴ τὴν ἱερὰν σου. —

[1] Λέξις διαγεγραμμένη καὶ νῦν ἀδιάγνωστος.

[2] Γραπτέον Σοί, ἅτε γραφέντος ἐρυθροῦ Π ἀντὶ Σ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΣΧΟΛΗ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ τηΚ. Π. ΙΩΑΝΝΙΝΑ 2006

δ΄ (φ. 154β). «**Τοῦ αὐτοῦ** εἰς τὸν αὐτόν». Ἀρχ. Οὐχ ὅτι νῦν οὐ γράφω. — ε΄ (φ. 155β). «**Τοῦ αὐτοῦ** εἰς τὸν αὐτόν». Ἀρχ. Ἡ τοῦ μύθου κάμηλος.—6 (φ 156α). «Τῷ πατριάρχῃ Ἀντιοχείας τῷ Αἰμιλιανῷ». Ἀρχ. Ἐγὼ μὲν ᾤμην.—7 (φ. 157α) «Τῷ αὐτῷ». Ἀρχ. Ἀλλὰ διατί, θεοτίμητε. —8 (φ. 157β). «Τῷ αὐτῷ». Ἀρχ. Ἡ μὲν οὖν Ἀντιόχεια. —9 (φ 158β). «Τῷ πρωτοσυκέλλῳ Λέοντι». Ἀρχ. Ὁπότε σὺ σαυτόν. — 10 (φ 159α). «Τῷ Ξιφιλίνῳ». Ἀρχ. Μετεστράφης ποτέ.

300 (φ. 160α). «**Τοῦ αὐτοῦ** Λόγος σχιδιασθεὶς πρὸς Πόθον βεστάρχην ἀξιώσαντα τοῦτον γράψαι περὶ τοῦ θεολογικοῦ χαρακτῆρος».
Ἀρχ. Μὴ θαυμάσῃς, Πόθε μοι φίλτατε.
Εὕρηται καὶ ἐν φ. 51 κ. ἑ. τοῦ Παρισιακοῦ κώδικος 1182. Ἴδε **Κ. Σάθα** Μεσαιωνικῆς βιβλιοθήκης Τόμ. Ε΄ σ. ξς΄. Ἐξεδόθη δὲ ὑπὸ τοῦ *Coxe* ἐν τῷ Catalogus codicum Bibliothecae Bodleianae σ. 743 κ. ἑ. ἐκ τοῦ ὑπ᾽ ἀρ. 189 Codex Miscellaneus τῆς Βιβλιοθήκης τοῦ Ὀξωνίου.

301 (φ. 165α). «**Τοῦ αὐτοῦ** τῷ πρωτοπροέδρῳ καὶ ἐπὶ τῶν κρίσεων κυρῷ Κωνσταντίνῳ».
Ἀρχ. Θαυμάζειν μοι λίαν ἔοικας.

302 (φ 166α). «**Τοῦ αὐτοῦ** Ἐξήγησις τῆς ἐν τῷ Τιμαίῳ τοῦ Πλάτωνος μαθηματικῆς περὶ ψυχῆς ὑπάρξεως ἢ γεννήσεως».
Ἀρχ. Ἐκ μέρους ἠρώτηκάς με τὸ πλατωνικὸν περὶ τῆς ψυχῆς διάγραμμα.

303 (φ. 167β). «Ἑτέρας πλατωνικῆς ἐξήγησις διανοίας ἀπὸ τοῦ Τιμαίου».
Ἀρχ. Ἐρᾷς τῆς πλατωνικῆς ἀκορέστως πηγῆς.

304 (φ. 168β). «Ἐξήγησις τελεωτέρα περὶ τοῦ λείμματος».
Ἀρχ. Τί ποτέ ἐστι τὸ λεῖμμα ἠρώτηκας.

305 (φ. 169β). «Περὶ μουσικῆς».

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἀρχ. Ἡ ἀληθὴς μουσικὴ περὶ ἧς εἴρηται τὸ Ἡμεῖς δὲ μουσικῆς κλέος οἷ ἀκούομεν.

306 (φ. 170β). «Προλαμβανόμενα εἰς τὴν ῥυθμικὴν ἐπιστήμην».
Ἀρχ. Τῆς ῥυθμικῆς ἐπιστήμης ταῦτα προλαβεῖν σε χρεών.

307 (φ. 171β). «Σύντομος ἔφοδος περὶ ἀστρονομίας».
Ἀρχ. Ἐμοὶ μὲν ἀποπεφάνθω.

308 (φ. 172β). «Σύντομος παράδοσις τῶν δεκατριῶν παραλογισμῶν».
Ἀρχ. Συστεῖλαι σοι εἰς μέτρον ἐπιστολῆς τοὺς σοφιστικοὺς ἐδεήθης ἐλέγχους.

309 (φ. 174α). «Περὶ φυσικῶν καὶ ἐπικτήτων ποιοτήτων καὶ περὶ ἕξεως καὶ διαλέξεως».
Ἀρχ. Τῶν ποιοτήτων περὶ ὧν μαθεῖν ἀκριβέστερον ἐδεήθης.

310 (φ. 175α). «Περὶ τῶν πρός τι καὶ σχημάτων καὶ χρώματος καὶ μορφῆς καὶ περὶ δυνάμεως καὶ ἀδυναμίας».
Ἀρχ. Τοῦ Πλάτωνος ὁρισαμένου τὰ πρός τι καὶ εἰρηκότος.

311 (φ. 176α). «Ἀφορμαὶ τῶν περὶ τὰ γένη ἐπιχειρημάτων».
Ἀρχ. Ἀξιολογώτατοι τῶν πρὸς τὸ γένος καὶ τὸ ἴδιον

312 (φ. 177α). «Περὶ ἐρωτήματος διαλεκτικοῦ καὶ περὶ διαλεκτικῆς».
Ἀρχ. Οὐχ ἁπλοῦν τι πρᾶγμα ἐρώτημα διαλεκτικόν.

313 (φ. 178α). Περὶ τοῦ δευτέρου βιβλίου τῶν Προτέρων ἀναλυτικῶν».
Ἀρχ. Ἠρώτησας τίς ἐστιν ὁ σκοπὸς τοῦ δευτέρου βιβλίου τῶν Προτέρων ἀναλυτικῶν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΗΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Α της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

314 (φ. 179α). «Περὶ τῆς μίξεως τῶν προτάσεων καὶ περὶ εὐπορίας προτάσεων σύντομος ἔφοδος».

Ἀρχ. Ἰδού σοι τὰς μίξεις τῶν προτάσεων ὡς ἐκέλευσας ἐν βραχεῖ κατὰ τὴν ἀριστοτελικὴν διάταξιν ἀποδίδωμι.

315 (φ. 180α). «Ἐπὶ σκεύει χρυσῷ ἐν ᾧ εἰκονίσθη ὁ ἅγιος ἡμῶν βασιλεὺς καταστροπούμενος τὸν σουλτάνον».

Ἔχει ὅλον ὧδε·

Ἐκ χρυσίου τὸ σκεῦος, ἡ δὲ στιλπνότης
ἔοικε μᾶλλον ἀστράπτειν {νέον}[1] τρόπον.
Γεγραμμένας φέρει γὰρ ἀριστουργίας
Ῥώμης Μανουὴλ αὐτοκράτορος νέας,
τοῦ χρυσοειδοῦς νοῦν ἅμα καὶ σαρκίον.
Πάσης μὲν οὖν γῆς οὐδ' ὁ πᾶς ἀρκεῖ γῦρος,
σκεύους δὲ τούτου κυκλόθεν διεγράφη
ὁ πορφυραυγὴς οὗτος αὐσονοκράτωρ
φοβῶν, διώκων καὶ κατα κράτος τρέπων
τὸν ἀρχιπέρσην πρὸς μάχην ὡπλισμένον
σὺν μυρίαις φάλαγξιν Ἰκονιέων
καὶ πῶς ἀμέτροις ἐντυχὼν χιλιάσι
βουνῶν φαράγγων ἀφανῶς ἀνηγμέναις
μονώτατος διεῖλε τὴν ὁμαιχμίαν,
ἐκεῖ μὲν ἔνθεν ἀνδρικῶς δόρυ στρέφων.
Τὸν χρυσοῦν οὕτω ταῦτα χρυσοῦσι πλέον.

316 (φ. 180α). «Ἐπὶ εἰκόνι τῆς ὑπεραγίας Θεοτόκου κοσμηθείσῃ». Στίχοι 12.

Ἀρχ. Αὐτάγαθόν σε καὶ φιλεύσπλαγχνον φύσει.
Τέλ. σκηνοῦντα τοῦτον εἰς Ἐδὲμ δεῖξαι χλόην.

317 (φ. 180α). «Ἐπὶ εἰκόνι τοῦ ἁγίου Θεοδώρου κοσμηθείσῃ παρὰ τοῦ Σερβλίου κυροῦ Ἰωάννου». Στίχοι 10.

Ἀρχ. Πρὸς δωρεῶν θάλασσαν ὧν ἔσχον, μάκαρ,

. . . . . . . . . . . . . . . . . .

[1] Ἀντὶ τοῦ ὑπ' ἐμοῦ προστεθέντος νέον χῶρος κενὸς ἐν τῷ κώδικι.

διδοὺς Μανουὴλ αὐτάνακτος Αὐσόνων
εὐεργεσιῶν τὰς βρύσεις ἀειρρόους.
Τέλ. Ἰωάννης σὸς δοῦλος αἰτῶ Σερβλίας.

318 (φ. 180α). «Ἐπὶ εἰκονίσμασι τοῦ τε ἀοιδίμου βασιλέως Ἰωάννου, τοῦ υἱοῦ αὐτοῦ κυροῦ Μανουὴλ καὶ τοῦ υἱοῦ τούτου κυροῦ Ἀλεξίου».

Ἔχει ὅλον ὧδε·

Πάππος, πατήρ, παῖς, βασιλεῖς Ῥώμης νέας,
οὓς ἐγγραφέντας καθορᾷς ὧδε, ξένε,
θεόπλοκος σειρά τις ἐστὶ χρυσέα
πέρατα συνδέουσα τῆς γῆς κυκλόθεν,
ἀρτῶσα δὲ ξύμπαντα τοῦ ταύτης κράτους,
κάμπτουσα δὲ τράχηλον ἐθνῶν βαρβάρων.
Ἐκ πορφύρας τὰ δένδρα ταῦτα τὰ τρία,
σκέποντα καὶ ψύχοντα τοὺς ὑπηκόους
εὐεργεσιῶν ταῖς σκιαῖς ὡς φυλλάδων.
Ἰωάννης μὲν Αὐσόνων σκηπτροκράτωρ
τὴν πατρικὴν εὔκλειαν αὐξήσας ὅσον,
ὁ δ' αὐτοκράτωρ Μανουὴλ μᾶλλον πλέον,
ὃν σατράπης πᾶς, ῥὴξ ἅπας, πρίγκιψ, κόμης,
τὸ ῥωσικὸν πᾶν, Νεῖλος αἰγυπτορρόας [1]
ἔφριξαν ὡς ἄμαχον εἰς νοῦν, εἰς σθένος.
Ὢ καὶ δοθείσης ἐκ θεοῦ μοναρχίας
καὶ τριγερόντων ἐκδραμόντων ἡλίων
Ἀλέξιος πλήρωμα παῖς ταύτην λάβοι,
αὖθις δ' ἀπ' αὐτοῦ τέκνα τῶν ἀπεκγόνων.

319 (φ. 180α). «Εἰς εἰκόνα τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου δεθεῖσαν (κῶδ. δοθεῖσαν) διὰ χρυσίου παρὰ τοῦ βασιλέως». Στίχοι 11.
Ἀρχ. Ὁ τὰς καμήλου τρίχας εἰς σκέπην ἔχων
. . . . . . . . . . . . . . . . . . . .
δι' οὗ Μανουὴλ πορφυρανθὴς αὐτάναξ
καταγλαΐζει σὸν σεβάσμιον τύπον,

[1] αἰγυπορρόας

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

φ. 180[6] || μονῇ δὲ τῇ σῇ πίστεως δῶρον νέμει.
Τέλ. θεὸν δυςωπῇ τοῦ δεδωκότος χάριν.

320 (φ. 180[6]). Ἀνεπίγραφον εἰς τὴν στέψιν Μανουὴλ τοῦ Κομνηνοῦ. Ἔχει ὅλον ὧδε·

Πάλαι μὲν εἷς ἀρχιερεὺς, Μελχισεδὲκ ὁ μέγας,
εὐλόγησε τὸν Ἀβραὰμ ὡς νικητὴν ἐλθόντα
ἐκ τῆς κοπῆς καὶ συντριβῆς τῶν πέντε βασιλέων.
Νῦν δὲ τριὰς πατριαρχῶν προςφέρει σοι τὸ στέφος,
ἐπευλογοῦσα, βασιλεῦ, σὲ τὸν Χριστὸν Κυρίου,
στήσαντα μέγα τρόπαιον μέσον ῥηγῶν ἐξάδος
Ἀλαμανῶν, Καραντῶν, Ῥὼς, Οὔγγρων, Τζέχων [καὶ] Λέχων.
Κἀνταῦθα γὰρ ὑπερνικᾷ νόμον σκιᾶς ἡ χάρις
ἐν ἀριθμῷ πατριαρχῶν καὶ τῶν ῥηγῶν τῷ μέτρῳ.
Καὶ χαῖρε προερχόμενος ἡμῖν εὐλογημένος
καὶ τῷ συστρατηγοῦντι σοι θεῷ διδοὺς τὴν δόξαν.

321 (φ. 180[6]). **[Χριστοφόρου τοῦ Μυτεληναίου].** «Αἴνιγμα εἰς τένταν».
Ἀρχ. Ἀπετρός εἰμι καὶ κινούμενος δόμος.
Ἐκδίδοται παρὰ *Kurtz* Die Gedichte des Christophoros Mitylenaios σ. 45 ἀρ. 71.

322 (φ. 180[6]). **[Τοῦ αὐτοῦ]** «Εἰς τὸ τίμιον λείψανον τοῦ ἁγίου Παντελεήμονος βλύζον τὸ ἁγίασμα».
Ἀρχ. Ἔβλυζε πέτρα ῥεῖθρον Ἰσραηλίτου.
Ἴδε *Kurtz* ἔνθ' ἀν. σ. 56 ἀρ. 89.

323 (φ. 180[6]). **[Τοῦ αὐτοῦ]** «Εἰς τὴν γέννησιν τοῦ τιμίου Προδρόμου».
Ἀρχ. Θαυμαστὸν οὐδὲν εἰ θεὸς νικᾷ φύσιν.
Ἴδε *Kurtz* ἔνθ' ἀν. σ. 76 ἀρ. 113.

324 (φ. 180[6]). **[Τοῦ αὐτοῦ]** «Εἰς τὴν γέννησιν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ».

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΟΣ
Ε.Υ. ΔΗΣ Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἀρχ. Ποίμνης βροτείας τὸν καλόν σε ποιμένα.
Ἴδε *Kurtz* ἔνθ' ἀν. σ. 86 ἀρ. 123. Ἴδε καὶ ἀνωτέρω ἀρ. 169.

325 (φ. 180β). [Τοῦ αὐτοῦ] «Εἰς τὸν μύρμηκα».
Ἀρχ. Τὸν νοῦν ὁ μύρμηξ, τὸ βραχὺ ζῷον, μέγας.
Ἴδε *Kurtz* ἔνθ' ἀν. σ. 87 ἀρ. 125. Ἴδε καὶ ἀνωτέρω ἀρ. 170.

326 (φ. 180β). [Τοῦ αὐτοῦ] «Εἰς τὴν Ἀνάληψιν».
Ἀρχ. Ἐκ γῆς ἀπαίρεις, εὖ τὰ τῆς γῆς θεὶς λίαν.
Ἴδε *Kurtz* ἔνθ' ἀν. σ. 87 ἀρ. 126. Ἴδε καὶ ἀνωτέρω ἀρ. 171

327 (φ. 180β). «Εἰς πλούσιον τὸν κατορύττοντα τὸ χρυσίον».
Ἀρχ. Πρὸς μνᾶς κεχηνὼς ὡς γαλῆ τις πρὸς στέαρ.
Ἴδε *Kurtz* ἔνθ' ἀν. σ. 91 ἀρ. 134. Ἴδε καὶ ἀνωτέρω ἀρ. 174.

328 (φ. 181α). «Ἐπὶ ἐγκολπίῳ ἔχοντι μέρος τοῦ ἁγίου λίθου, ἐν ᾧ ἐσμυρνίσθη ὁ κύριος καὶ θεὸς ἡμῶν Ἰησοῦς Χριστός».

Ἔχει ὅλον ὧδε·

Ὁ ζῶν θεϊκῶς καὶ θανὼν σαρκὸς νόμῳ·
λίθῳ τε κλιθεὶς βασιλικῶς ὡς λέων
καὶ λιβανοσμύρνιστον εἰςδὺς σινδόνα
φέροντα σεπτὸν τοῦδε τοῦ λίθου μέρος
Ἰωάννην με Κομνηνόν, Σῶτερ, σκέποις
ἅμα συνεύνῳ Δουκοβλάστῳ Μαρίᾳ.

329 (φ. 181α). «Ἐπὶ εἰκόνι τοῦ ἁγίου Παντελεήμονος». Στίχοι 8.
Ἀρχ. Ἀναργύρως μὲν πρὶν παρεῖχες τὴν χάριν,
νῦν δ' οὐ ποθῶν ἄργυρον οὐδὲ χρυσίον.
Τέλ. Γεράσιμος σὸς τόνδε σοι κόσμον φέρων.

330 (φ. 181α). «Ἐπὶ πατελίῳ χρυσῷ, ἐν ᾧ εἰκονίσθησαν τὰ κατὰ τὴν Οὐγγρίαν τρόπαια τοῦ βασιλέως».

Ἔχει ὅλον ὧδε·

Φωνὴν μὲν Ἴστρος ἐκ Δαυὶδ προςλαμβάνων
κράζει Μανουὴλ αὐτάνακτος τὸ κράτος.

Ἴστρου δὲ τύπον ἐν κρατῆρι χρυσέῳ
γράψας σεβαστὸς Δουκόπαις Καλαμάνος
ἐκ παιονικῶν ῥηγικῶν ῥιζωμάτων
καὶ τὰς ἐπ' αὐτῷ μυριανδραγαθίας
φωνὴν ἀνυψοῦν χρυσέαν τοῦτον θέλει
καὶ τῷ βασιλεῖ Δουκικὸν δῶρον φέρει.

331 (φ. 181α). «Ἐπὶ τῷ εἰκονίσματι τοῦ βασιλέως, τοῦ μὲν κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ συλλαλοῦντος αὐτῷ πρὸς τὸ οὖς, τοῦ δὲ ἁγίου Πνεύματος ἐν εἴδει περιστερᾶς ἐξ οὐρανοῦ κατερχομένου, τῶν δὲ ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου καὶ τῶν ἁγίων πατριαρχῶν, τοῦ Χρυσοστόμου, τοῦ Θεολόγου καὶ ἔτι(;)[1] ἀρχιερέων ἐπιδιδόντων αὐτῷ νόμους τῶν χρήσεων». Στίχοι 12.

Ἀρχ. Σὺ μὲν θεῷ πᾶν τῷ βασιλεῖ προςλάλει,
ὃ δ' ἃ πρὸς οὖς ἤκουσε κηρύττειν θέλει
ὡς εἷς μὲν εἶ σύ, πλὴν φύσεις σῴζεις δύο.
Τέλ. πάρεστιν ἰδοὺ καὶ προτείνεται τόμους
πλήρεις ἀκριβῶν ὀρθοδόξων δογμάτων.
Τούτους, Μανουὴλ αὐσονοκράτορ, δέχου
καὶ δόγμα πᾶν ἔκφυλον αὐτοῖς ἐκτρέπου.

332 (φ. 181α). «Εἰς τὸ θαῦμα τῶν πέντε ἄρτων». Στίχοι
Ἀρχ. Λαβὼν ἀφύρτως φύραμα τοῦ σαρκίου
ἐκ παρθενικῶν ὑπεράγνων αἱμάτων.
Τέλ. κοινῶς τὸ καινὸν συμπίοις ἡμῖν πόμα.

333(φ. 181α). «Ἐπὶ σκεπάσματι χρυσῷ, ἐν ᾧ εἰκονίσθησαν τὰ κατὰ τὸ ταξείδιον τὸ κατὰ τὸ Ἰκόνιον».

Ἔχει ὅλον ὧδε·

Τάχ' ἂν βιασθῇ καὶ θαλασσῶν ἡ χύσις
ἐκ δρακὸς ἀνδρὸς μέτρον εὑρεῖν τοῦ πλάτους,
ἂν ἐγγράφειν χρὴ χρυσέων σκευῶν κύκλῳ
ἕκαστον ὧν δέδρακε Μανουὴλ ἄναξ.
Νῦν δ' ἀρχιπέρσης ὧδε φυγὰς ἐγράφη

[1] Κατὰ διόρθωσιν τοῦ τὸ πρῶτον γραφέντος ἔτει (;).

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τὰς Ἰκονίου καὶ[1] παρεκκλίνας πύλας,
φεύγων δὲ πρὸς φάραγγας εἰς ὀρῶν λόφους.
Οἱ δ' Ἀγαρηνοὶ κατὰ γῆς ἐρριμμένοι·
κἂν γὰρ κρυφῇ τις, ὡς ὄφις, πτέρναν βάλῃ,
θλᾶται καὶ κεφαλὴν καὶ φέρει δεσμὸν τρίχας,
καθέλκεται δὲ τῷ βασιλεῖ ζωγρίας. φ. 181β
ὡς ταῦτα πολλῶν ἀντίμετρα χρυσίων.

334 (φ. 181β). «Ἐπὶ εἰκόνι τῆς ὑπεραγίας Θεοτόκου».
Ἔχει ὅλον ὧδε·

Χρυσὸς μὲν οὐδὲν, οὐδὲ λαμπρότης λίθων,
οὐ σφαιροειδῶν μαργαρυγὴ μαργάρων,
πρὸς τὴν ὑπερπάγχρυσον ἁγνότητά σου,
ἀφ' ἧς ἀχειρόξεστος ἐτμήθη λίθος,
ὡς δ' ἐξ ἐλύτρου μάργαρος, θεοῦ λόγος
σαρκὸς πάχει προῆλθεν ὠστρακωμένος.
Σὺ δ' ἀλλὰ κἀμὸν λιθομάργαρον, κόρη,
Θεοδώρας δώρημα Κομνηνῆς δέχου,
πορφυροθαλοῦς ἐγγόνης Θεοδώρας,
ἧς πάππος Ἀλέξιος αὐσονοκράτωρ,
πατὴρ δὲ βλαστὸς πορφύρας Ἰωάννης,
αὐτοκράτωρ τρόπαια μυρία δράσας,
σύναιμος ἄναξ Μανουὴλ Ῥώμης νέας,
οὗ χεῖρα πεφρίκασι καὶ νοὸς βάθος
ῥῆγες, σατράπαι, βάρβαρον σύμπαν γένος·
ἣ τὸν Λαπαρδᾶν ἐξ ἐπωνύμου γένους
σεβαστὸν Ἀνδρόνικον ἔσχεν εὐνέτην.
Τῆς καρδίας μου τὸν πολὺν οἶδας ἔρον.
Στεῖρα πρὶν Ἄννα· σὺ δὲ τεχθεῖσα ξένως
στειρώσεως τὴν θλίψιν ἐξῆρας, κόρη,
θεὸν δὲ τίκτεις τὸν πλάσαντα τὴν φύσιν.
Αἰτῶ σε κἀμὲ δεῖξον, ὡς Δαυὶδ γράφει,
ἐπὶ τέκνῳ χαίρουσαν ὄντως μητέρα,
αἰτῶ σε δίδου τῇ δεήσει μου πέρας.

[1] Γραπτέον μέν.



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

335 (φ. 181[6]). «Ἐπὶ τῷ ξίφει τοῦ βασιλέως».

Ἔχει ὅλον ὧδε·

Ξίφους μὲν ἀνταύγεια συγχέει κόρας.
ἂν προστεθῇ χρυσοῦς δὲ συζοφοῖ πλέον
Τίς βάρβαρος γοῦν ἀντιβλεπτεῖν ἰσχύσει,
ὅταν Μανουήλ, πορφυρανθὴς αὐτάναξ,
ἐναέριον τοῦτο τὸ ξίφος στρέφῃ,
οὗ τὴν λαβὴν ἔστιλψε λαμπρῷ χρυσίῳ
βλάστημα ῥηγῶν, συμπάρευνος Μαρία
φίλτρῳ πλέον λάμποντι καὶ τοῦ χρυσίου;
Πᾶς ἐχθρὸς οὐκοῦν κρύπτε χερσὶ τὰς κόρας
καὶ φρίττε· λεῖχε τῆς πτέρνας κόνιν,
οὗ παντὸς ἀνδρὸς ἀνδρικώτερον σθένος,
ὡς μὴ ζοφωθῇς ἀστραπηβόλῳ ξίφει.

336 (φ. 181[6]). «Ἐπὶ χρυσῷ ζωστῆρι».

Ἔχει ὅλον ὧδε·

Ἐκ μαργαριτῶν, ἐκ λίθων, ἐκ χρυσίου
σοὶ τήνδε συμπλέξασα τὴν ζώνην νέμω,
αὐτοκράτορ μου, τῆς ζωῆς πλουτισμέ μου,
συναυτάνασσα, ῥηγόβλαστος Μαρία.
Ἔνδειγμα φίλτρου καθαροῦ τὸ χρυσίον,
συννεύσεως δὲ τῆς πρὸς ἓν σὲ καὶ μόνον
τὸ σφαιροειδὲς τῶν φεραυγῶν μαρμάρων,
τὸ δ' ἀρραγὲς κράζουσιν οἱ στερροὶ λίθοι.
Εἴη θεὸς δὲ δύναμίν σε ζωννύων,
κρατεῖ δὲ τῷ σῷ γῆς περιγράφων γῦρον.

337 (φ. 181[6]). «Ἐπίγραμμα γεγονὸς ἐπὶ τῷ ἐμπαγέντι μέσο τῆς οὐγγρικῆς χώρας Τιμίῳ Σταυρῷ».

Ἔχει ὅλον ὧδε·

Ὃν πρὶν κατιδὼν ἀστερόγραφον τύπον
ὁ γῆς μονάρχης καὶ μέγας Κωνσταντῖνος
νίκας κατ' ἐχθρῶν ἔσχεν ἀκράτῳ κράτει,
ἐνταῦθα τοῦτον Παιόνων γῆς ἐν μέσῳ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Γ. Α. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μνήμης χάριν ἔστησε τοῖς ὀψιγόνοις
Δούκας σεβαστὸς εὐκλεὴς Ἰωάννης,
στηλογραφῶν ἄριστον ἔργον καὶ ξένον.
Οὗ καὶ προῆρξε καὶ προῆξεν εἰς τέλος
ὁ πᾶσιν ἀσύγκριτος αὐσονοκράτωρ,
πορφυροθαλὴς Μανουήλ, ἄναξ μέγας,
ὃς μυριαχῶς συντριβὰς δοὺς ποικίλας
τῇ Παιόνων γῇ καὶ τὸν Ἴστρον τὸν μέγαν
εἰς τάφον αὐτοῖς αὐτόρυκτον εὐρύνας
ὡς ὁρκολύταις, ὡς θεοῦ παραβάταις,
ταύτην ἁπάσαις προστιθεῖ δριμυτέραν
μόνος τὸ δρᾶμα καὶ νικήσας καὶ δράσας.
Καὶ γὰρ στρατηγοὺς γεννάδας ἐπικρίνας
καὶ παμμιγεῖς φάλαγγας ἐντάξας τόσας,
ἀρχιφαλαγγάρχην σε τὸν Δούκαν κρίνας,
|| Ἴστρον προελθεῖν ἐκ Βιδίνης προτρέπει φ. 182α
κἀκεῖθεν εἰς γῆν εἰσβαλόντας Παιόνων
πλῆθυν δορυάλωτον αὐτῶν ἑλκύσαι.
Ὃ καὶ καθὼς κέκριτο κατορθωκότες
πλήρεις ἀναστρέφουσιν ἀριστευμάτων
σὺν αἰχμαλώτων ψαμμομετρήτῳ στέφει.
Σήμαντρον οὐκοῦν τῆς τόσης εὐβουλίας
τοῦ πορφυρανθοῦς αὐτάνακτος Αὐσόνων
πήγνυσιν ὧδε Γολγοθᾶν ὡς εἰς νέον
τοῦ νικοποιοῦ σταυρικοῦ ξύλου τύπον.

338. (φ. 182α). «Τοῦ **Προδρόμου** εἰς κάτοπτρον ἔχον ὄπισθεν γεγραμμένον τὸν Ἥλιον».

Ἔχει ὅλον ὧδε·

Ἀεὶ διδοὺς φῶς τῇ σελήνῃ, φωσφόρε,
νῦν αὐτὸ μᾶλλον αὐτὸς ἀντιλαμβάνεις,
ὡς ἐκ σελήνης τῆς Κομνηνῆς Μαρίας,
ὅταν τὸ βλέμμα τῷ κατόπτρῳ προσβάλοι[1].

[1] Κατὰ διόρθωσιν τοῦ τὸ πρῶτον γραφέντος προσβάλλῃ;

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ὑπερφυὲς τὸ φέγγος, ἀλλ' ὅθεν ῥέει;
Ἐκ τοῦ κατόπτρου; Μηδαμῶς. Ποῦ γὰρ τόσον
σίδηρος αὐγάσειεν; Ἀλλ' ἐξ Ἡλίου,
ὃς γραπτὸς ἐξόπισθεν αὐτῷ τυγχάνει;
Οὐκ ἔστιν οὐδὲ τοῦτο. Πῶς οὖν καὶ πόθεν;
Ἐκ τοῦ προσώπου τῆς Κομνηνῆς Μαρίας,
οὗ τὴν καθαρὰν καὶ περίστιλπνον χάριν
εἴπῃς ἂν ὡς κάτοπτρον ἐστὶν ἡλίου.

339 (φ. 182α). «**Τοῦ αὐτοῦ** εἰς λαμπάδα ἀποσταλεῖσαν εἰς εἰκόνα τῆς πανυπεράγνου δεσποίνης ἡμῶν Θεοτόκου».

Ἔχει ὅλον ὧδε·

Ὅλη μὲν εἶ φῶς καὶ τὸ φῶς ὅλη βρύεις
καὶ πᾶσα πέμπεις μυριάκτινον σέλας
ὡς κηροπλαστήσασα σῶν ἐξ αἱμάτων
τὴν σωματικὴν τῷ θεῷ μου λαμπάδα,
σεβαστοκρατόρισσα λάτρις Εἰρήνη,
αἰτοῦσα τυχεῖν τῆς ἐκεῖθεν ἡμέρας.

340 (φ. 182α). «Τοῦ **Ψελλοῦ** Εἰς κώθωνα γυναικὸς ἀργυροῦν».

Καίπερ μὴ διαστελλόμενα ἀλλήλων διὰ σταυροῦ ἐν ἀρχῇ, ὡς συνήθως ἐν τῷ κώδικι, ἔχομεν ἐνταῦθα πέντε χωριστὰ ἐπιγράμματα, ἔχοντα ὧδε·

Κώθων διαυγής, ἀλλὰ χεὶρ πολλῷ πλέον.

Κώθωνα τόνδε χεὶρ νεαρὰ βαστάσοι,
ἄν τις δὲ λεπρὰ μηδὲ κἂν προσεγγίσοι.

Καὶ μὴ πιεῖν θέλοντά κώθων ἑλκύει.

Κώθων πιεῖν πείθει με καὶ δίψης πλέον.

Πίνει με πείθει πρὸς δίψης ἡ θέα.

341 (φ. 182α). «Πρὸς ξύλον δάφνινον ὂν ἐν ὀπῇ».

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ψ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἔχει ὅλον ὧδε·

Δάφνη, τί κρύπτῃ; Μὴ τὸν Ἀπόλλω πάλιν
λαθεῖν θέλουσα τῆς ὀπῆς ἔνδον γίνῃ;

342 (φ. 182α). «Ἀπὸ ναρκίσσου φυτοῦ πρὸς Ζέφυρον».

Ἔχει ὅλον ὧδε·

Παῦσον, Ζέφυρε, μὴ σφοδρῶς πνέειν θέλε·
κἂν νῦν Ἀπόλλων οὐ παρῇ, τί μηνύεις;

343 (φ. 182α). «Εἰς νάρκισον φυτὸν κλένον εἰς ὕδωρ».

Ἔχει ὅλον ὧδε·

Νάρκισε τί ὁρᾷς; Εἰς ὕδωρ βλέπων[1] πάλαι
πάλιν βυθισθῇς, ἂν ἐρασθῇς οὐ βλέπεις,
βλέπεις δὲ σαυτὸν ἐν κατόπτρῳ **κλιμένῃ**.

344 (φ. 182α). «Εἰς τὴν Κυριώτισσαν ὅτε ἀνέγνω».

Ἔχει ὅλον ὧδε

Καὶ Ῥωμανῷ, δέσποινα, τῷ λάτρει πάλαι
τόμον φαγεῖν δέδωκας ἐγγεγραμμένον,
ἐμοῦ δὲ τὸν κρατῆρα πλῆσον, παρθένε,
τῶν τῆς σοφίας γλυκερῶν κερασμάτων.
Διψῶ γὰρ αὐτοῦ ἐκροφῆσαι πλησμίως,
ὡς ὑγρανεῖ μου τὴν κατάξηρον φρένα.

345 (φ. 182α) **[Χριστοφόρου τοῦ Μυτιληναίου]** «Εἰς τὸ βάπτισμα τοῦ Χριστοῦ ἡρωικά».

Ἀρχ. Μίγνυται ὧδε ἄμικτα φύσις φλογώεσσα καὶ ὑγρά.

Ἐκδέδοται παρὰ *Kurtz* ἔνθ' ἀν. σ. 2 ἀρ. 3.

346 (φ. 182α). **[Τοῦ αὐτοῦ]** «Εἰς τὸν ἅγιον Συμεὼν τὸν Στυλίτην».

Ἀρχ. Παρ' ἀγγέλους τι μικρὸν, ὦ θεοῦ λόγε.

Ἴδε *Kurtz* σ. 3 ἀρ. 5.

[1] βλέ῀

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΠΙΣΤΗΜΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: Π. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

347 (φ. 182α). **[Τοῦ αὐτοῦ]** «Εἰς τὸ ἀνακαθαρθὲν πηγάδιον τῆς μονῆς τῆς Θεοτόκου· λέγονται δὲ πρὸς τὴν Θεοτόκον ὡς ἀπὸ προσώπου τοῦ ἀνακαθάραντος».
Ἀρχ. Τοῖς σοῖς μονασταῖς ἐκκαθαίρων τὸ φρέαρ.
Ἴδε *Kurtz* σ. 4 ἀρ. 7.

348 (φ. 182β). **[Τοῦ αὐτοῦ]** «Εἰς τὸν πατρίκιον Μελίαν καὶ παραθαλασσίτην».
Ἀρχ. Ἦν ἁλμυρίζων ῥοῦς θαλάττιος πάλαι.
Ἴδε *Kurtz* σ. 9 ἀρ. 15.

349 (φ. 182β). **[Τοῦ αὐτοῦ]** «Αἴνιγμα εἰς τὸν ζυγὸν ἤτοι τὸ ζύγιον».
Ἀρχ. Δίκαιος εἰμὶ καὶ δικαίων ἀκρότης.
Ἴδε *Kurtz* σ. 13 ἀρ. 21.

350 (φ. 182β). **[Τοῦ αὐτοῦ]** «Εἰς τὴν Μεταμόρφωσιν».
Ἀρχ. Ἐοίκασι ξένον τι δηλοῦν ἐνθάδε
Ἴδε *Kurtz* σ. 14 ἀρ. 25.

351 (φ. 182β). **[Τοῦ αὐτοῦ]** «Εἰς πτωχὸν Λέοντα».
Ἀρχ. Ἄχαλκος ὤν, ἄραβδος, ἐμβάδων δίχα.
Ἴδε *Kurtz* σ. 17 ἀρ. 29.

352 (φ. 182β). **[Τοῦ αὐτοῦ]** «Εἰς τὰς ἐν τῇ ἐκκλησίᾳ ῥαινομένας δάφνας κατὰ τὰς ἑορτάς».
Ἀρχ. Τεκμήριον πρὶν οὖσα μαντικῆς, δάφνη
Ἴδε *Kurtz* σ. 18 ἀρ. 32.

353 (φ. 182β). **[Τοῦ αὐτοῦ]** «Αἴνιγμα εἰς τὴν ἐν τῷ οὐρανῷ ἶριν ἤτοι τὸ τόξον».
Ἀρχ. Στοὰ ξύλων ἄμοιρος εἰμὶ καὶ λίθων.
Ἴδε *Kurtz* σ. 19 ἀρ. 35.

Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

354 (φ. 182β). [Τοῦ αὐτοῦ] «Εἰς τὸν ῥήτορα Μηνᾶν φιλοπότην ὄντα». Ἔχει ὧδε·

'Ρήτωρ ὁ Μηνᾶς, ἀντὶ τοῦ πείθειν πίνων.

Ἴδε *Kurtz* σ. 20 ἀρ. 37.

355 (φ. 182β). [Τοῦ αὐτοῦ] «Εἰς τὴν Ὑπαπαντήν».

Ἀρχ. Ἰδὼν τὸν υἱὸν μητρικαῖς ἐν ἀγκάλαις.

Ἴδε *Kurtz* σ. 23 ἀρ. 41.

356 (φ. 182β) [Τοῦ αὐτοῦ] «Εἰς λοετρόν».

Ἀρχ. Οἷον τὸ λουτρὸν χρῆμα θυμῆρες σφόδρα.

Ἴδε *Kurtz* σ. 32 ἀρ. 53

357 (φ. 182β). [Τοῦ αὐτοῦ] «Εἰς τὸν βασιλέα Κωνσταντῖνον τὸν Μονομάχον».

Ἀρχ. Ἔχεις τὸ λευκόν· εἰς τί μαργάρων χάρις;

Ἴδε *Kurtz* σ. 32 ἀρ. 54.

358 (φ. 182β). [Τοῦ αὐτοῦ] «Αἴνιγμα εἰς τὰς ἐν τῷ ὡρολογίῳ ὥρας».

Ἀρχ. Ἡμεῖς ἀδελφαὶ γνήσιαι ψυχῶν δίχα.

Ἴδε *Kurtz* σ. 33 ἀρ. 56.

359 (183α). «Σχόλια εἰς τὸ περὶ βραχυβιότητος καὶ μακροβιότητος δεύτερον τοῦ Ἀριστοτέλους».

Ἀρχ. Ὁ μὲν σκοπὸς τῆς βραχυβιότητος καὶ μακροβιότητος πραγματείας Ἀριστοτέλους.

360 (φ. 189β). «Εἰς τὸν ἅγιον Στέφανον».

Ἔχει ὅλον ὧδε·

Ἐκαρτέρει Στέφανος ἀνδρειοφρόνως
πρὸς τοὺς λιθασμοὺς ὡς ὑπὲρ φύσιν φύσις
καὶ σὰρξ τις ἂν ἠρνεῖτο σαφῶς τοὺς νόμους.
Ἀποσκοπῶν γὰρ πρὸς τὸν ὑψοῦ δεσπότην,
τὸν ἀκρογωνιαῖον ἀρραγῆ λίθον,
πρὸς τὰς βολὰς ὑπῆρχε τῶν λίθων λίθος.

Ε.Υ.Δ. ΕΠΕΑΕΚ τ.Π ΙΩΑΝΝΙΝΑ 2006

361 (φ. 190α). «Ἀρχὴ σὺν θεῷ τοῦ βιβλίου τῶν περὶ γεωργίας ἐκλογῶν **Κασσιανοῦ Βάσσου σχολαστικοῦ**».
Ἴδε καὶ κατωτέρω ἀρ. 371.

362 (φ. 192β). [**Κλήμεντος μοναχοῦ**] «Εἰς εἰκόνα τοῦ ἁγίου Θεοδοσίου τοῦ κοινοβιάρχου».
Ἔχει ὅλον ὧδε·

Τῆς πίστεως κάλαμον ἐμβάψας πόθῳ
καὶ καρδίας γράψας σε πλαξὶ σαρκίναις
ψυχῆς, Θεοδόσιε, ταῖς κόραις βλέπω
Ὁρᾶν δὲ, πάτερ, καὶ κατ' αἴσθησιν θέλων.
γράφω τύπον σὸν ἐξ ἐνύλων χρωμάτων.
ὦ τύπε καὶ πρώταρχε τοῦ κοινοῦ βίου.
Σὺ δ' ἀλλὰ γράψον ἐν βίβλῳ σεσωσμένων,
ὅταν ἀνοιχθῇ κρίσεως τὸ βιβλίον,
μονότροπον Κλήμεντα, τὸν σὸν οἰκέτην,
πιστὸν μαθητὴν ἐνθέου διδασκάλου,
τοῦ πατριάρχου τῆς Σιὼν Ἰωάννου.

363 (φ. 192α). [**Τοῦ αὐτοῦ**] «Εἰς εἰκόνα τοῦ Χριστοῦ ἐσταυρωμένου ἀπὸ τοῦ πατριάρχου Ἱεροσολύμων κυροῦ Ἰωάννου». Στίχοι 18.
Ἀρχ. Κλίνας κεφαλὴν καὶ θανὼν ἐπὶ ξύλου,
ὦ φρικτὲ νεκρὲ, ζῶν θεοῦ ζῶντος λόγε,
ἔοικας ἄνθρωπος αἴτησιν φέρειν.
Τελ. καὶ δοῦλον ὄντα προσλαβοῦ δαιτυμόνα
τὸν πατριάρχην τῆς Σιὼν Ἰωάννην.

364 (φ. 192β). [**Τοῦ αὐτοῦ**] «Εἰς εἰκόνα τοῦ ἁγίου Θεοδοσίου τοῦ κοινοβιάρχου». Στίχοι 14.
Ἀρχ. Ψυχῆς, Θεοδόσιε, τῇ προθυμίᾳ
τὴν σαρκὸς ἀσθένειαν ἐκνικᾶν θέλων.
Τέλ. τύπον δὲ τὸν σὸν ἐκ πόθου πολλοῦ γράφει
ὁ πατριάρχης τῆς Σιὼν Ἰωάννης,
ὃν καὶ σκέποις νῦν καὶ κατευθύνοις, πάτερ,
τέλος δὲ καὶ σύσκηνον αὐτὸς προσλάβοις.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Επ. Διατης Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

365 (φ. 192β). [Τοῦ αὐτοῦ] «Εἰς εἰκόνα τοῦ ἁγίου Σάβα». Στ. 13.
Ἀρχ. Ἐκ πράξεων φῶς χρηματίσας ἐνθέων.
Τέλ. ὁ πατριάρχης τῆς Σιὼν Ἰωάννης
σοῦ τὸν τύπον νῦν ἅμα τῷ στύλῳ γράφει
‖πῦρ δεικνύων κρύφιον οὗ τρέφει πόθον. φ. 193α
Σὺ δ' ἀλλὰ ταύτην τὴν πυρίφλεκτον βάτον
λίταζε, φωτὸς λυχνίαν τὴν χρυσέαν,
τὸ τρισσοφεγγὲς φῶς θεοῦ τοῦτον βλέπειν
καί σοι συνεῖναι κἂν μοναῖς οὐρανίαις.

366 (φ. 193α) «Εἰς εἰκόνα τῆς ὑπεραγίας Θεοτόκου κοσμηθεῖσαν».
Ἔχει ὅλον ὧδε·
. . . ον(;) ἀγαθῶν ἠνέῳξάς μοι πύλας,
ὁδὸν διατρίβοντι τοῦ κάτω βίου.
Ἔμψυχε πύλη τοῦ θεοῦ κεκλεισμένη,
πολλὰς ἀνεστόμωσας εὐρείας βρύσεις
τὴν κοσμικὴν θάλασσαν εἰςπλέοντί μοι·
πηγὴ θεοφρούρητος ἐσφραγισμένη,
τὴν εὐμένειαν εἰργάσω μοι πλουσίαν
τῆς αὐτανάσσης Εἰρήνης τῆς συζύγου
αὐτοκρατοῦντος Μανουὴλ Ῥώμης νέας
ἀνάκτορον ζῶν, οἶκος παμβασιλέως.
Ὡς λαμπρὰ ταῦτα· δόξα σοι τίς ἀξία;
Πλὴν, οὐρανοστήρικτε τοῦ λόγου κλέμαξ,
γέφυρα πιστῶν, λυχνία φωτοφόρε,
εἰς γῆν διαβίβασον ἡσύχου βίου,
μονοτρόπων σύνταξον ἐνθέῳ μέρει
Νικόλαόν με τὸν Μεσοποταμίτην.
Λύχνος ποδῶν μου, φῶς δὲ ταῖς τρίβαις γίνου,
κλίμακι θείων ἀρετῶν στήριζέ με,
τέλος δ' ὑπανοίξασα τῆς Ἐδὲμ πύλας
ἐπεντρυφῶν ὕδατι τῆς τρυφῆς δίδου.

367 (φ. 193α). «Εἰς ἐγκόλπιον ἔχον μῦρον ἐκ τοῦ βλύζοντος ἀπὸ τῆς εἰκονος τοῦ ἁγίου Γεωργίου τοῦ Μεσαμπελίτου».

Ε.Υ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

Ἔχει ὅλον ὧδε·

Σὺ κλῆμα Χριστοῦ, τῆς νοητῆς ἀμπέλου.
Οὐκοῦν τύπος σὸς ἐκ μέσων τῶν ἀμπέλων
ὡς γλεῦκος ἡμῖν μῦρον ἀρρήτως βρύει,
δι' οὗ Σκυλίτζην τὸν Γεώργιον σκέποις.

368 (φ. 193α) «Εἰς τάφον τῆς Ξηραίνης».

Ἔχει ὅλον ὧδε·

Εἰ μὴ σιδηρᾶς ἐξεχαλκεύθης, ξένε,
ἢ πετρίνην ἄτεγκτον αὐχεῖς καρδίαν,
δάκρυα πικρὰ κατὰ πηγαίαν βρύσιν
ὡς ἐκ φλεβῶν ἔκβλυζε τῶν σῶν ὀμμάτων,
τῆς κειμένης γνοὺς τὰς δυσαντήτους τύχας.
Αὕτη [μὲν][1] Μελισσηνῶν ἐκ ῥίζης ἔφυ
καὶ προσγενὴς ἦν Ξηρεπωνύμῳ γένει,
οὓς εἶχεν ἡ Πέλοπος ὡς κλέος μέγα·
ζυγεῖσα δ' ἀνδρὶ τῶν περικλεεστάτων
Μωσηλὲ φυλῆς Μιχαὴλ ἀπεκγόνῳ,
ἀπείργετο μὲν τῆς θέας τοῦ συζύγου,
χρονοτριβοῦντα τῇ πόλει Κωνσταντίνου
φοραῖς τυχηραῖς τοῦ πολυστρόφου βίου·
ὡς δ' εἰς πλέον τὴν θλίψιν οὐκ εἶχε στέγειν,
τῆς φιλτάτης λιποῦσα τὴν γῆν πατρίδος,
σχέσιν παριστᾷ φιλομεύνου καρδίας,
ἐκεῖθεν ἀπάρασα πρὸς τὸν εὐνέτην.
Μικρὸν μεταξὺ καὶ κίνησις ἐμβρύου,
καιρὸς δ' ἐπ' αὐτῇ προσφορώτατος τόκου.
Ἀλλ' ὢ ταχίστης συμφορᾶς ἀμετρία.
Γαστὴρ μὲν εὐθὺς τοῦ βρέφους ὤφθη τάφος,
ἀμφοῖν δὲ κοινὸς ὃν πικρὸν τύμβον βλέπεις.
Ὅσων ὀδυρμῶν τῷ πάθει χρεία, ξένε.
Πλὴν ἀλλ' ἐπεύχου τὴν ῥαγεῖσαν ἀθλίως
τοῦ συζύγου νῦν τῆς φίλης συμψυχίας
συνοικίαν σχεῖν τῆς Ἐδὲμ τούτῳ μίαν.

[1] Ἀντὶ τοῦ ὑπ' ἐμοῦ προστεθέντος μὲν οὐδὲν ἕτερον ἐν τῷ κώδικι.

369 (φ. 193α). «Εἰς τὸν αὐτὸν τάφον ἐν ᾧ εἰκονίσθη ἡ ὑπεραγία Θεοτόκος ἱκετεύουσα ὑπὲρ τῆς κειμένης».

Ἔχει ὅλον ὧδε·

Ἰδοὺ θεοῦ παῖ, πλάστα μου, τέκνον, λόγε,
πιστὴ λάτρις σὴ τῷ τάφῳ τεθειμένη
Ξήραινα ῥίζης ἐκ Μελισσηνῶν κλάδος
μητρὸς πόθῳ σῆς Μαρία κεκλημένη
ἐμὲ προβάλλει πρὸς μεσιτείας λόγον.
Τὴν ἠγκαλισμένην σε τοιγαροῦν χέρα,
ταθεῖσαν ἰδὼν εἰς παράκλησιν, τέκνον,
ὡς μητρὸς αἰδέσθητι καὶ χάριν δίδου φ. 193β
οἰκεῖν συνάμα Μιχαὴλ τῷ συζύγῳ
Μωσηλὲ τρυφῆς ἐν μέσῳ χλοηφόρου,
κἂν νῦν διεῖλες οἷς λόγοις οἶσθα μόνος.

370 (φ. 193β). «Δημοτικὰ ἐπὶ τῇ προελεύσει τοῦ βασιλέως».

Ἔχουσιν ὅλα ὧδε·

Οὐ χρῄζει ῥήτορος ἁπλῶς οὐδ᾿ ὕμνων ἀνθρωπίνων
ἡ σήμερον πανήγυρις τῶν σῶν εἰςιτηρίων
αὐτάναξ θεῖε Μανουήλ, σκηπτοῦχε, πολιοῦχε,
ἀλλ᾿ οὐρανίας καὶ φρενὸς καὶ γλώσσης καὶ συνθήκης.
Ναὶ γάρ, ὑπερεκπλήττουσι, πάντα νικῶσι λόγον
ἃ νῦν αὐτὸς ἠρίστευκας ἐν εὐαρίθμῳ χρόνῳ.
Ἐν σοὶ Κιλίκων γῆ, Περσῶν, Χάλεπ, Ἀντιοχείας.
Πῶς οὖν ἰσχύσομεν ἡμεῖς μετὰ σαρκίνης γλώσσης
λόγοις αὐτὰ περιλαβεῖν τὰ τόσα, τὰ τηλίκα;
Πλὴν ἀλλ᾿ ὡς φόρον φέρομεν οἱ δοῦλοι σου τοὺς ὕμνους.

Ἡ πόλις ἡ βασίλεια, μήτηρ ἡ σὴ καὶ δούλη
ταῦτα σοι λέγει μετ᾿ αἰδοῦς καὶ μετ᾿ εὐλόγου φρίκης·
«Νίκης υἱὲ πρωτότοκε, θρέμμα τῆς ἀριστείας,
πορφύρας ῥόδον Μανουήλ, κάλλος αὐτοκρατόρων,
ἀνάσχου τῆς θρεψάσης σε, στέξον αὐτῆς τὸν πόθον,
ἐκ τῶν πυλῶν μου διελθεῖν κατάδεξαι, βλαστέ μου,
καὶ μὴ τὸ μέγεθος σκοπῶν τῶν σῶν ἀριστευμάτων

εὖρος πυλῶν ἀνάλογον ζητήσῃς εὑρηκέναι.
Μόλις γὰρ ἂν καὶ δι' αὐτοῦ τοῦ τόξου τῆς νεφέλης
μετὰ τοσούτων παρελθεῖν ἰσχύσῃς τῶν τροπαίων».

Ἐθάμβησας τοῖς ἔργοις σου καὶ ταῖς ταχυπραξίαις,
μεγαλονίκα Μανουήλ, αὐτάναξ σκηπτροκράτορ,
ἅπαντα νοῦν ἀνθρώπινον, τάχα καὶ τοὺς ἀγγέλους,
ὡς καὶ δοκεῖν ἐπερωτᾶν ἀλλήλους ἐν ἐκστάσει·
«Τίς ἐστιν οὗτος βασιλεύς, τίς οὗτος αὐτοκράτωρ,
ὃς γῆν ὁμοῦ καὶ θάλασσαν καὶ ποταμῶν τὰ ῥεῖθρα
τῶν τεραστίων καὶ συχνῶν ἐπλήρωσε τροπαίων;
Τὸν γοῦν τηλίκον ἄνακτα τὸν τόσον στεφανίτην
ὁποῖαι πύλαι στέξουσι, πόσον ἀρκέσει πλάτος;
Σὺ δὲ κἀνταῦθα νίκησον ἐκ μετριοφροσύνης.

Ἥλιε γίγαν, φεραυγὲς νυμφίε τῆς ἡμέρας,
αἰσθάνου νῦν τῆς ἑορτῆς, χαῖρε τῇ πανηγύρει
καὶ πλέον μεγεθύνθητι καὶ μᾶλλον σελασφόρει
καὶ τὴν ἡμέραν δᾳδουχῶν ἔρχου βραδὺς πρὸς δῦσιν,
τῷ θεωνύμῳ Μανουὴλ καὶ θεοβασιλεύτῳ
φέρων τὴν χάριν σήμερον ἐν τοῖς ἑσπερίοις
ὡς Ἰησοῦ τῷ τοῦ Ναυῆ κατὰ καιρὸν τῆς μάχης,
ἵν' ἐπιπλέον βλέποιμεν αὐτοῦ τὴν φρυκτωρίαν
μαργάρων φέγγει καὶ χρυσῶν ἀντεπαυγάζοντός σοι
ἢ μᾶλλον κατορθώμασι καὶ ταῖς ἀριστουργίαις.

Χαῖρε μοι, θύγατερ Σιών, πόλεως πάσης μῆτερ,
ἄκμαζε, Ῥώμη νεαρά, χόρευε, κρότει, σκίρτα.
Ἥκει πρὸς σὲ προφητικῶς πραΰς ὁ βασιλεύς σου,
οὐ πῶλον ἐπιβεβηκώς, υἱὸν ὑποζυγίου,
ἀλλ' ὑποτάξας τοῖς ποσίν, ἀλλ' ὑποκλίνας βίᾳ,
ἀλλ' ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας ἄγξας
τῶν λαθομένων ἀναιδῶς τῆς φάτνης τοῦ Κυρίου
καὶ λακτισάντων ἱππικῶς καὶ καταθρασυνθέντων

Καὶ μαρτυρεῖ 'Ρουπένιος γῇ προςερείδων κάρα
καὶ πρίγκιψ τρόμῳ πτοιῶν χάριν δευτέρου βίου.

371 (φ. 194α). «Ἐπισημείωσις τῶν ἀποτελουμένων ἐκ τῆς πρώτης βροντῆς καθ' ἕκαστον ἔτος μετὰ τὴν κυνὸς ἐπιτολήν».

Εἶνε συνέχεια τῶν ὑπ' ἀρ. 361 περὶ γεωργίας τοῦ **Κασσιανοῦ Βάσσου.** Ἕπονται ἄλλα κεφάλαια μέχρι τέλους τῆς ιζ' βίβλου. Ἐν δὲ φ. 287β ἄρχεται ἡ ιη' βίβλος, σωζομένη μέχρι κεφαλαίου ιθ' (Περὶ τυροποιίας) ἐν ταῖς λέξεσι τὰ ἁπαλὰ αὐτῆς κλωνία ἢ φύλλα καὶ τῆς κινάρας. Μεταξὺ δὲ τοῦ φύλλου 290 καὶ 291 λείπει ἓν (;) φύλλον. Τὸ φ. 291 ἄρχεται ὧδε· ....να στερεοποιῶσιν αὐτῶν καὶ ὀξύνωσι τοὺς ὀδόντας. Ἕπεται ἐν τῷ αὐτῷ φύλλῳ· ϐ'· ἄλλο περὶ κυνῶν. Τῶν κυνῶν ἐγκρίνουσι τῶν μὲν ἀρρένων τοὺς μεγαλοφυεῖς τοῖς ὠσὶ καὶ ὄγκοις. Ἐξικνεῖται δ' ἡ βίβλος αὕτη μέχρι τῶν περὶ τῶν χοίρων καὶ μένει ἀτελὴς ἐν φ. 292β ἐν ταῖς λέξεσιν οἱ δὲ χοῖροι λοιμικῷ οὐ περιπίπτουσι πάθει ἢ ἐμπεσόντες ἰαθήσονται.

372 (φ. 292β). Τινὰ περὶ τῶν δέκα κατηγοριῶν ἀνεπίγραφα.

Ἀρχ. Νυνὶ δὲ περὶ τῶν πραγμάτων λεκτέον. Τέλ. (ἀτελές)· κεχαλινωμένος εἱστήκει· ἐπεὶ δὲ περὶ τῶν δέκα.....

Καὶ τοιαῦτα μὲν τὰ ἐν τῷ κώδικι περιλαμβανόμενα· ἀποτελεῖται δὲ οὗτος ἐκ διαφόρων ἐπὶ τὸ αὐτὸ συμπεπηγμένων μερῶν, διακρινομένων ἀπ' ἀλλήλων τοῦτο μὲν ἐκ τοῦ μέλανος καὶ τῆς γραφῆς, τοῦτο δ' ἐκ τοῦ εἴδους τοῦ βομβυκίνου χάρτου, τῶν ἀριθμῶν τῶν δηλούντων τὰ τετράδια καὶ τοῦ τρόπου τῆς σημειώσεως αὐτῶν ὑπὸ τῶν βιβλιογράφων.

Καὶ δὴ τὸ πρῶτον τμῆμα εἶνε εἰλημμένον ἐκ κώδικος, οὗ λείπει ἡ ἀρχή. Στερούμεθα δὲ νῦν τῶν δύο πρώτων αὐτοῦ τετραδίων καὶ τοῦ πρώτου φύλλου τοῦ τρίτου, καθ' ἃ ἐξάγεται ἐκ τούτου, ὅτι ἐν τῷ νῦν σωζομένῳ φ. 8α εὑρίσκομεν ἐν τῷ μέσῳ τῆς κάτω ᾤας σημειούμενον τετράδιον δ͞. Εἶτα δ' ἕπεται ἐν φ. 16α σημείωμα τετραδίου ε͞. Ἐξακολουθεῖ δὲ τὸ αὐτὸ

τμῆμα μέχρι καὶ τοῦ φ. $39^{\beta}$, ἀλλ' οὐδαμοῦ ἀλλαχοῦ τῶν φύλλων τούτων φέρεται σημείωμα δηλωτικὸν ἀριθμοῦ τετραδίου.

Ἄλλο δὲ τμῆμα ἀποτελοῦσι τὰ φύλλα τοῦ κώδικος $40^{\alpha}$ - $45^{\alpha}$ τὰ περιέχοντα τὴν ὑπ' ἀρ. 104 Διδασκαλίαν Μιχαὴλ τοῦ Ψελλοῦ. Ἡ γραφὴ τοῦ τμήματος τούτου εἶνε ἄλλης χειρὸς καὶ μελαντέρα τῆς τῶν φ. 1 - $39^{\beta}$. Εἰς τὸ τμῆμα δὲ τοῦτο ἐνεγράφησαν ὑπ' ἄλλης χειρὸς τἀνωτέρω ὑπ' ἀρ. 105 - 115 σημειούμενα.

Τρίτον δὲ τμῆμα συγκροτοῦσι τὰ φ. 47 - 88, περιέχοντα τὸν ἀνωτέρω ὑπ' ἀρ. 116 Ἐπιμερισμὸν τοῦ Ψαλτῆρος ἀπὸ φωνῆς Γεωργίου τοῦ Χοιροβοσκοῦ, τοὺς ὑπ' ἀρ. 117 Μύθους Ἰγνατίου καὶ Βαβρίου καὶ τὰ ὑπ' ἀρ. 118 καὶ 119 Ἐπιγράμματα τοῦ Βουλγαρίας Θεοφυλάκτου καὶ Γνωμικὰ ἀνεπίγραφα. Τοῦ τμήματος τούτου ἡ γραφὴ εἶνε κιρρά, φέρονται δ' ἐν αὐτῷ οἱ ἑξῆς ἀριθμοὶ δηλωτικοὶ τετραδίων ἐν τῷ μέσῳ τῆς κάτω ὤας, ἐν μὲν φ. $47^{\alpha}$ ⁘ α ⁘, ἐν δὲ φ. $55^{\alpha}$ ⁘ β ⁘, ἐν δὲ φ. $63^{\alpha}$ ⁘ Γ̄ ⁘, ἐν δὲ φ. $71^{\alpha}$ ⁘ Δ' ⁘, ἐν δὲ φ. $79^{\alpha}$ ⨯ ε' ⨯. Τὸ τελευταῖον τοῦτο τετράδιον σύγκειται ἐκ φύλλων δέκα.

Τέταρτον δὲ τμῆμα διακρίνεται ἀπὸ τοῦ φ. 89 μέχρι καὶ τοῦ φ. 120. Ὁ βομβύκινος χάρτης τοῦ τμήματος τούτου εἶνε διάφορος, καὶ λείπει ἐν τοῖς φύλλοις τούτοις πᾶν σημείωμα ἀριθμοῦ τετραδίων.

Πέμπτον δὲ τμῆμα ἕπεται ἀπὸ τοῦ φ. 121 μέχρι καὶ τοῦ φ. 152, ἐν οἷς περιέχονται οἱ εἰς τὸν Λέοντα ἢ ἐπ' αὐτοῦ λόγοι. Ὁ βομβύκινος χάρτης τοῦ τμήματος τούτου εἶνε ἁδρός, ἡ δὲ γραφὴ πυκνοτέρα καὶ μελαντέρα, σημειώματα δὲ τετραδίων ἔχομεν ἐν τῷ μέσῳ τῆς κάτω ὤας τάδε· ἐν μὲν φ. $128^{\beta}$, ἤτοι ἐν τῷ τέλει τοῦ πρώτου τετραδίου, ^ᾱ, ἀπέναντι δ' αὐτοῦ, ἐν φ. $129^{\alpha}$, ἤτοι ἐν τῇ ἀρχῇ τοῦ δευτέρου τετραδίου, ὁμοίως ^ᾱ διορθωτέον εἰς β̄, ἐν δὲ φ. $137^{\alpha}$ ^γ̄ καὶ ἐν φ. $145^{\alpha}$ ^δ̄.

Ἕκτον δὲ τμῆμα ἔχομεν μεταξὺ τῶν φ. 153 καὶ 179, ἐν

Ε.Υ.Α. της Κ.τ.Π.Ι. ΙΩΑΝΝΙΝΑ 2006

οἷς περιέχονται τἀνωτέρω ὑπ' ἀρ. 299-314 σημειούμενα ἔργα τοῦ Ψελλοῦ, ὧν διάφορος εἶνε ἡ γραφή, εἰ καὶ ὁ βομβύκινος χάρτης ὁμοιάζει πρὸς τὸν τοῦ πέμπτου τμήματος. Σημειώματα δὲ τετραδίων ἔχομεν μόνον ἐν τέλει τοῦ πρώτου, ἐν φ. 160ᵇ, ἐν τῷ μέσῳ τῆς κάτω ᾤας, τὸ α' καὶ ἐν ἀρχῇ τοῦ δευτέρου, ἐν φ. 161ᵃ, τὸ $\iota = \beta'$, ἔπειτα δὲ παύει ἡ δήλωσις τῶν τετραδίων.

Ἕβδομον τμῆμα εἶνε τὸ περιλαμβάνον τὰ φ. 180-189. Ὁ βομβύκινος εἶνε διάφορος καὶ κιρροτέρα ἡ γραφή· ἀλλὰ καὶ μεταξὺ τούτων διάφορα εἶνε τὰ φ. 183 κ. ἑ., δεικνύοντα γραφὴν νεωτέραν πως καὶ μελαντέραν.

Ὄγδοον τμῆμα εἶνε τὸ μεταξὺ τῶν φ. 190-193. Ἡ γραφὴ αὐτοῦ εἶνε ἀρχαιοτέρα τῆς τῶν φ. 183-189 καὶ εἶνε πιθανώτατα αὐτὴ ἡ τοῦ γράψαντος τὸ πρῶτον, ἴσως δὲ καὶ τὸ τέταρτον τμῆμα, ὅστις εἶνε ὁ αὐτὸς ὁ παρεγγράψας καὶ διάφορα κενὰ μείναντα ἐν τῷ ἐκ τῶν διαφόρων μερῶν συμπηχθέντι κώδικι.

Ἔνατον δὲ τμῆμα εἶνε τὸ ἀπὸ φ. 194 κ. ἑ. τὸ περιλαμβάνον τὴν συνέχειαν τῶν τοῦ Κασσιανοῦ Βάσσου μέχρι τέλους. Τὸ μέρος τοῦτο τοῦ κώδικος ἔχει τὰ ἑξῆς σημειώματα τετραδίων· ἐν φ. 218ᵃ ἐν τῷ μέσῳ τῆς κάτω ᾤας δ', ἐν φ. 226ᵃ ε', ἐν φ. 234ᵃ ς, ἐν φ. 241ᵃ ζ, ἐν φ. 273ᵃ ια, ἐν φ. 281ᵃ ιβ, ἐν φ. 209ᵃ ιγ. Εἶνε δὲ ἡ γραφὴ τῶν φύλλων τούτων πυκνὴ καὶ κιρρά, ὁμοιάζουσα μᾶλλον πρὸς τὴν τοῦ γράψαντος τὸ πέμπτον τμῆμα.

Ἄξιον περιεργείας εἶνε, ὅτι ἔν τινι τῶν ἐν τέλει τοῦ κώδικος ἀγράφων φύλλων ὁ ἄλλοτε διευθυντὴς τῆς Μαρκιανῆς Valentinelli ἐσημείωσεν, ὅτι τὴν Libanii Declamationem pro Socrate, ἣν ὁ Ἰάκωβος Morelli[1] ἐξέδωκε, καθ' ἃ λέγει, ἐκ τοῦ-

[1] Aristidis Oratio adversus Leptinem. Libanii Declamatio pro Socrate. Aristoxeni Rhythmicorum elementorum fragmenta ex Bibliotheca D. Marci Veneta ... Edidit *Jacobus Morellus*. Ἐν Βενετίᾳ, 1785.

ΕΡΓΑΣΤΗΡΙΟ ΜΕΣΑΙΩΝΙΚΗΣ ΚΑΙ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΛΟΓΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. ΔΠΠ.Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

του τοῦ κώδικος, οὐδέποτε εὗρεν ὁ Valentinelli ἐν αὐτῷ, καὶ προςθέτει num error in numero? Χειρὶ δὲ τοῦ κατόπιν Ἕλληνος βιβλιοθηκαρίου τῆς Μαρκιανῆς Ἰωάννου Βελούδου σημειοῦται ἐν τῷ διωρθωμένῳ ἀντιτύπῳ τοῦ Zanetti τῷ ἐν τῷ ἀναγνωστηρίῳ τοῦ τμήματος τῶν χειρογράφων τῆς βιβλιοθήκης ἐκείνης, ἐν σ. 283, ὅτι error vel Morelli vel Typographi. Pro codice DXXIV scribendum est CCCCXIX. v. Praef. Morelli ad Orationem Aristidis p. XVII. XXXII.

Τέλος δηλῶ, ὅτι πρὸς συμπλήρωσιν τῆς γενομένης λεπτομεροῦς περιγραφῆς τοῦ κώδικος 524 τῆς Μαρκιανῆς βιβλιοθήκης καὶ τῆς ἐξ αὐτοῦ κατ' ἐκλογὴν ἐκδόσεως πολλῶν ἐπιγραμμάτων ὑπολείπεται ἡ ἐξέτασις περὶ τῶν ποιησάντων τὰ ἐκ τούτων ἀνώνυμα, ἡ μελέτη περὶ τῶν ἐν αὐτοῖς προςώπων καὶ πραγμάτων καὶ ἡ σύνταξις πίνακος περιέχοντος τὰ ἐν αὐτοῖς κύρια ὀνόματα καὶ τὰς νέας, εἰς τὰ λεξικὰ ἐξ αὐτῆς προςτιθεμένας λέξεις. Ταῦτα πάντα ἐν ὅλῳ ἢ ἐν μέρει ἐπιφυλάσσω εἰς προςεχῆ τεύχη τοῦ Νέου Ἑλληνομνήμονος.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΛΛΗΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006